UNIVERSITY OF TORONTO
3 1761 00001481 1

PA
4279
C6P7
1820

A. o. 536.

Thorkel.

Bibl. Wilken.

# ΕΚ ΤΩΝ ΠΡΟΚΛΟΥ ΣΧΟΛΙΩΝ ΕΙΣ ΠΛΑΤΩΝΟΣ ΚΡΑΤΥΛΟΝ ΕΚΛΟΓΑΙ.

---

# EX PROCLI SCHOLIIS IN CRATYLVM PLATONIS EXCERPTA.

---

E CODD. EDIDIT

IO. FR. BOISSONADE.

---

LIPSIAE
SVMTIBVS J. A. G. WEIGELII.
LVGDVNI BATAVORVM
APVD S. ET J. LVCHTMANS.
1820.

KŒN: DOM-GYMNASIUM ZU MAGDEBURG.

PA
6479
C6 P7
1820

LIBRARY
Oct 7 1963
UNIVERSITY OF TORONTO

852292

FRID. CREVZERO

PROFESSORI HEIDELBERGENSI

MYSTERIORVM

PHILOSOPHIAE PLATONICAE

EPOPTAE

PROCLI LYCII

IN CRATYLVM

COMMENTARIORVM

RELIQVIAS

OFFERT

EDITOR OBSERVANTISSIMVS.

## LECTVRIS S.

Iam inde ab anno saeculi nono hunc Procli Diadochi in Cratylum Commentarium descripseram, et Weigelio, viro optimo, miseram, eo consilio ut philosophi vitae a Marino conscriptae editionem a me curatam augeret atque exornaret. Sed Marinus, ob illas rationes de quibus olim in praefatione ad ejus libellum lectores monui, comite sperato destitutus prodiit; et Proclus, quem Platonicis aliis commentatoribus jungere tunc volebat Weigelius, ipse nunc in publicum emittitur incomitatus, et, quod pejus est, fere nudus. Nam quem ἐν προσθήκης μέρει post Marinum collocare destinaveram, illustrare supersederam uberiore annotatione, fereque satis habueram me in notulis continere quibus fontes locorum lectionumque varietates indicarentur. Potueram sane multa ad

ampliorem illustrationem facientia in marginibus congerere, si, per integrum hoc decennium, ad manus mihi fuisset apographum; sed Lipsiae in Weigelii forulis jacebat; nihilque addere potui nisi locorum plurimorum indicationes, quae, ex illo Procli opere excerpta, scriptis suis nuper inseruerant Creuzerus, b. Werferus, Taylorus, viri doctissimi; hic in Syntagmate Oraculorum Chaldaïcorum et Magicorum quod Valpyanae Ephemeridi Classicae inserendum curavit; ille in Orphicis ex Proclo Fragmentis, quae inter Acta Monacensium Philologorum protulit; Creuzerus autem in Meletematis criticis et in docto Jupiter! et laborioso ad Plotinum de Pulchritudine Commentario. Etenim sic inter has tot annorum dilationes morasque diuturniores Weigelio mihique, fere peribat flos ille novitatis, in quem involabant diligentes illae eruditaeque manus; de quo cum Weigelium publice monuissem ad Holstenianas Epistolas p. 229, hinc evenit, opinor, ut fieret paulo animosior et ad neglectum diutius opus se tandem accingeret. Scholiorum illorum Procli in

Cratylum epitomen edo, nec integr. uspiam extare puto. Ipse etiam Holstenius, ille codicum helluo, qui olim Procli, ut et reliquorum id genus philosophorum, editionem meditatus fuit, Scholiorum in Cratylum Excerpta tantum habuit: „Proclum“ (ait Epist. p. 229. coll. p. 234.) „in Cratylum totum legi: sunt ἐκλογαὶ „majorum commentariorum satis diligenter et „bono cum judicio confectae. Plurima sunt „philologica in eo opere quae ad antiqua„rum fabularum explicationem pertinent.“ Atque patet ex locis quae in Dissertatione de Nymphaeo indicavit (cf. Holstenii Epistolas pag. 156.), easdem illis quas nunc vulgo eclogas legisse. Nec aliis utebatur Gassendus, qui ad Epicurea t. 1. p. 361. 362. paucula e Nostri libro testimonia protulit. Codices quoque Monacenses et Augustanus unde Creuzerus et b. Werferus sua sibi decerpserunt, non videntur fuisse meis ampliores. Equidem, ut copiolas recenseam meas, tres habui libros manuscriptos, binos Regios e Parisina bibliotheca 1832 et 1842, literis in annotatione

A et B signatos, atque Vaticanum 1197; omnes chartaceos, recentissimos omnes. Nec non monendum est in hisce eclogis non puram semper ipsamque Procli manum exhiberi; nam identidem inexspectata prodit Epitomatoris nescio cujus oratio, Proclum laudantis, verbi causa, cap. 30, 49, 56, 112, 155. Valete, atque meis studiis favete. Lutet. Jun. MDCCCXIX.

## ΕΚ ΤΩΝ

# ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΡΟΚΛΟΥ

## Σ Χ Ο Λ Ι Ω Ν

## ΕΙΣ ΤΟΝ ΚΡΑΤΥΛΟΝ ΠΛΑΤΩΝΟΣ ΕΚΛΟΓΑΙ ΧΡΗΣΙΜΟΙ [1]).

α΄. Ὅτι ὁ σκοπὸς [2]) τοῦ Κρατύλου, τὴν ἐν ἐσχάτοις ἐπιδεῖξαι τῶν ψυχῶν γόνιμον ἐνέργειαν, καὶ τὴν ἀφομοιωτικὴν [3]) δύναμιν, ἣν κατ᾽ οὐσίαν λαχοῦσαι, διὰ τῆς τῶν ὀνομάτων ὀρθότητος αὐτὴν ἐπιδείκνυνται. Ἐπειδὴ δὲ ἡ μεριστὴ τῶν ψυχῶν ἐνέργεια διαμαρτάνει πολλαχοῦ τῶν οἰκείων τελῶν, καθάπερ δὴ καὶ ἡ μερικὴ φύσις, χώραν εἰκότως ἔχει καὶ τὰ ἀόριστα καὶ τύχῃ καὶ αὐτομάτως περιφερόμενα ὀνόματα, καὶ οὐ πάντα τῆς νοερᾶς ἐπιστήμης ἐστὶν ἔκγονα [4]), καὶ τῆς πρὸς τὰ πράγματα συγγενείας στοχάζεται.

β΄. Ὅτι ὁ Κρατύλος λογικός τέ ἐστιν καὶ διαλεκτικὸς [5]), ἀλλ᾽ οὐ κατὰ τὰς τοῦ περιπάτου ψιλὰς τῶν πραγμάτων μεθόδους διαλεκτικὰς, ἀλλὰ κατὰ

1) Sic Vaticanus. B, sine τοῦ. Taurin. ἐκ τῶν σχολίων τοῦ φιλ. Πρ. εἰς — A, sine titulo.

2) AB, ὁ σκοπός. Vat. ὅτι σκοπός. Ex utraque lectione meam mihi feci.

3) Taurin. ἀφομοιωματικήν. B, ἀφομιωτικήν. V, ἀφ᾽ ὁμοιωτικήν. V, κατουσίαν. T. λαχοῖσα.

4) AB, ἔγγονα.

5) Vat. διαλεκτός.

τὸν μέγαν Πλάτωνα, εἰδότα τὴν διαλεκτικὴν ἁρμόζειν μόνοις τοῖς κεκαθαρμένοις τὴν διάνοιαν τελέως, καὶ διὰ τῶν μαθημάτων παιδευθεῖσι[6]), καὶ διὰ τῶν ἀρετῶν τὸ νεαροπρεπὲς τῶν ἠθῶν ἀποκαθαρθεῖσιν, καὶ ἁπλῶς γνησίως φιλοσοφήσασιν, καὶ θριγκὸν[7]) οὖσαν τῶν μαθημάτων, καὶ ἀνάγουσαν ἡμᾶς ἐπὶ τὴν μίαν πάντων αἰτίαν, τἀγαθὸν, καὶ διὰ Προμηθέως ἥκειν τοῖς ἀνθρώποις ἐκ θεῶν ἅμα φανοτάτῳ πυρὶ[8]) λεχθεῖσαν ὑπ᾽ αὐτοῦ. Ἡ γὰρ τοῦ Περιπάτου ἀναλυτική[9]) καὶ τὸ ταύτης κεφάλαιον, ἡ ἀπόδειξις, πᾶσιν εὔληπτα καὶ ἀρίδηλα τοῖς μὴ παντάπασι σκοτοδινιῶσιν, καὶ πολὺ τὸ τῆς λήθης ὕδωρ ἐμφορηθεῖσιν*).

γ΄. Ὅτι νοῦς ἐστὶν ὁ τῆς διαλεκτικῆς προβολεὺς, ἀφ᾽ ἑαυτοῦ ὅλου ὅλην αὐτὴν ἀπογεννῶν, καὶ κατὰ μὲν τὴν ἀφ᾽ ἑνὸς πάντων πρόοδον, τὴν διαιρετικὴν ὑφίστησι[10])· κατὰ δὲ τὴν συναγωγὴν ἑκάστου πρὸς μίαν ἰδιότητος περίληψιν, τὴν ὁριστικὴν ὑφίστησι· κατὰ δὲ τὴν ἐπ᾽ ἄλληλα παρουσίαν τῶν εἰδῶν, δι᾽ ἣν καὶ ἔστιν ὅ ἐστιν ἕκαστον καὶ μετέχει τῶν λοιπῶν εἰδῶν, τὴν ἀποδεικτικήν· κατὰ δὲ τὴν ἐπιστροφὴν πάντων εἰς τὸ ἓν καὶ τὰς οἰκείας ἀρχὰς, τὴν ἀναλυτικὴν γεννᾷ.

δ΄. Ὅτι ὁ μὲν Ἀριστοτέλης μίαν εἶναι λέγει ῥητορικὴν καὶ μίαν διαλεκτικὴν δυναμένας ἐπ᾽ ἄμφω, ὡς ἄν τις προαιρῆται[11]) πείθειν ἢ ἐλέγχειν· ὁ δὲ Πλάτων

---

6) AB, *παιδευθεῖσαν.*

7) B, *θρυγμόν.* Cf. Plato Republ. VII. c. 14. Ast. Locus Platonis est et in Stob. Ecl. II. 2. De ipsa voce *θριγκὸς* notavi ad Nicet. Eugen. I. 117.

8) B, *περί.*

9) AB, *λεχθ. ὑπ᾽ αὐτῶν ἐν τῇ περιπ. ἀναλυτικῇ.* Secutus sum Vat. Ad rem cf. Philebum c. 6. p. 13. Fisch. Statim B, *σκοτοδειν.*

*) Hoc loco usus sum ad Marini Proclum p. 79. ubi notavi de *τῷ τῆς λήθης πόματι.*

10) B, *ἐφίστησι.* Mox B, *ὑφίστασιν — δεῖ ἣν — ἀποδρητικήν.*

11) B, *προαιρεῖται πίθειν ἢ ἐλ.* V, *προαιρεῖται.*

ἄμεινον δύο ἑκατέρας εἶναι λέγει. Ἡ μὲν γάρ τίς ἐστι, φησὶ, ῥητορικὴ κολακεία καὶ ἄτεχνος, ἣν ἐν Γοργίᾳ διαβάλλει· ἡ δὲ ἐπιστήμη τῶν ἀγαθῶν καὶ δικαίων, ἣν ἐν Φαίδρῳ ἀνυμνεῖ. Καὶ πάλιν τὴν μὲν τοῦ Ἀριστοτέλους διαλεκτικὴν, ὡς ἐριστικὴν, ἀποπέμπεται, τὴν δὲ τῶν ὄντων τὰς ἀρχὰς ὁρῶσαν διαλεκτικὴν ἀγαπᾷ, ὡς μέρος φιλοσοφίας.

έ. Ὅτι εἰ[12]) ἀδύνατον συνελθεῖν γνῶσιν καὶ ἄγνοιαν τοῦ αὐτοῦ ἅμα, ἀδύνατον τὰς δύο ῥητορικὰς συνελθεῖν· ἡ μὲν γὰρ ἀγνοεῖ τὰ ἀγαθὰ[13], ἡ δὲ γινώσκει.

ς΄. Ὅτι ὁ παρὼν διάλογος ἐπιστήμονας ἡμᾶς ποιεῖ τῆς τῶν ὀνομάτων ὀρθότητος, καὶ δεῖ τὸν μέλλοντα εἶναι διαλεκτικὸν ἀπὸ ταύτης ἄρχεσθαι τῆς θεωρίας.

ζ΄. Ὅτι ὥσπερ ἐν Παρμενίδῃ τὴν ὅλην διαλεκτικὴν παραδιδοὺς, οὐ ψιλὴν[14]), ἀλλὰ μετὰ τῆς τῶν ὄντων θεωρίας παρέδωκεν, οὕτως καὶ νῦν τὴν τῶν ὀνομάτων ὀρθότητα μετὰ τῆς τῶν πραγμάτων ἐπιστήμης.

ή. Ὅτι τὰς ἀρχὰς τῶν ὄντων καὶ τῆς διαλεκτικῆς νῦν παραδιδόναι βούλεται ὁ Πλάτων, εἴπερ τὰ ὀνόματα, μετὰ τῶν ὧν εἰσὶν ὀνόματα, συμπαραδίδωσιν.

θ΄. Διὰ τί, λέγων ὁ Πλάτων[15]), ὅτι οἱ τῶν ὀνομάτων ὑπερορῶντες, πλουσιώτεροι φρονήσεως εἰς γῆρας ἀναφανησόμεθα, αὐτὸς νῦν προηγουμένως περὶ ὀνομάτων ζητεῖ; ἢ τοῦτο σκοπεῖ, οὐ καθ᾽ ὃ[16]) λέγονται, ἀλλὰ καθ᾽ ὃ εἰκόνες εἰσὶ τῶν πραγμάτων; Καὶ γὰρ ἡ ὁριστικὴ τριττή ἐστιν· ἢ γὰρ ἀπὸ τοῦ ἀνωτάτω γένους ἀρχομένη διὰ πάντων τῶν μέσων ἕως τῶν ὑστάτων διαφορῶν πρόεισιν, ὅπερ ὁ Ἐλεά-

12) *εἰ* abest ab AV.

13) V, *τ᾽ ἀγαθά.*

14) B, *ψυχήν.*

15) Plat. in Politic. c. 6. init.

16) V, *σποπεῖν οὐ καθὸ — καθό.*

της ξένος ποιεῖ ὁριζόμενος[17]) τόν τε σοφιστὴν καὶ τὸν πολιτικόν· ἢ τὸ ἐγγὺς καὶ γνώριμον γένος λαβοῦσα διὰ τῶν ἑξῆς διαφορῶν πρόεισιν, ὡς ἔχει τὸ „ἄνθρωπός ἐστι ζῶον πεζὸν δίπουν“[18]) καὶ τὰ τοιαῦτα· ἢ ὀνόματι[19]) μόνῳ χρῆται, οἷον „καλόν ἐστι τὸ πρέπον“ καὶ „ψυχή ἐστιν φυσιόχη οὐσία“[20]) καὶ τὰ τοιαῦτα. Καὶ ἔστιν οὗτος ὁ τρίτος τρόπος τῆς ὁριστικῆς ἐπισφαλέστατος. Εἰ γὰρ ἔτυχεν ἀπ' ἀρχῆς ὁ ὀνοματοθέτης ἀνεπιστήμων, ἀνάγκη διαπίπτειν τὸν χρησάμενον τῷ κειμένῳ ὀνόματι εἰς τὸν ὁρισμόν[21]). Διὰ τοῦτο οὖν ὁ Πλάτων νῦν προηγουμένως ζητεῖ περὶ τῶν τοιούτων ὀνομάτων, καὶ διὰ μέσων αὐτῶν ἐπὶ τὰ πράγματα ἀνατείνεται. Ἀλλὰ πρὸς ἀπόδειξιν τοῦτο συμβάλλεται, ὡς ἐν Φαίδρῳ[22]) τὴν μαντικὴν τῆς οἰωνιστικῆς κρείττω ἀπὸ τοῦ ὀνόματος ἐπεχείρησεν ἀποδεικνύς· ἀλλὰ καὶ[23]) πρὸς ἀνάλυσιν, ὡς ἐν τῷ Φαίδρῳ[24]) τὸν μὲν μετεχόμενον ὑπὸ τῶν θνητῶν ἔρωτα ποτηνὸν καλῶν, τὸν δὲ ἀμέθεκτον καὶ θεῖον πτέρωτα, διὰ τὴν εἰς ἓν συναγωγὴν τῆς τε οὐσίας τοῦ θεοῦ καὶ τῆς ἐνεργείας, καὶ οὕτως ἀνιὼν καὶ ἀναλύων φαίνεται· ἀλλὰ*) καὶ πρὸς διαίρεσιν πολλάκις ἀναγκαῖον τοῦτο· οὕτως γοῦν ὁ Σωκράτης διεῖλεν, ὅτι ἄλλο τὸ ἡδὺ καὶ ἄλλο τὸ ἀγαθόν, διότι καὶ τὰ ὀνόματα δύο.

ι. Ὅτι ὑπόκειται[25]) πρόσωπα νῦν Κρατύλος τε ὁ Ἡρακλείτιος, οὗ καὶ Πλάτων ἠκροάσατο, ὅστις ἔλεγεν τὰ ὀνόματα πάντα φύσει εἶναι, τὰ γὰρ μὴ φύσει,

---

17) A non *ὁριζ.* — Confer Platon. Soph. et Politic.
18) Cf. Diogen. Laert. VI, 40.
19) AB, *ὀνόμασι μόνῳ*. Forte, *μόνον*.
20) Cf. Platon. Cratyl. §. 37.
21) V sine *τόν*.
22) §. 48. Heindorf.
23) AB sine *καί*.
24) §. 70. Heind.
*) AB non *καί*.

25) V, *ὑπόκεινται*. Hujus Capitis summam Latinis verbis vide ap. Gassendum de Epic. t. I. p. 361.

μήδ' ὀνόματα εἶναι, ὥσπερ καὶ τὸν ψευδόμενόν φαμεν μηδὲ[26]) λέγειν· καὶ Ἑρμογένης ὁ Σωκρατικὸς, ὅστις ἀπεναντίας ἔλεγεν οὐδὲν εἶναι ὄνομα φύσει, ἀλλὰ πάντα θέσει*)· καὶ τρίτος Σωκράτης, ὅστις ἐπικρίνας, ἔδειξε τὰ μὲν αὐτῶν εἶναι φύσει, τὰ δὲ καὶ θέσει, οἷον τύχῃ γεγονότα. Τὰ μὲν γὰρ ἐπὶ τοῖς ἀϊδίοις μᾶλλον τοῦ φύσει μετέχει, τὰ δὲ ἐπὶ τοῖς φθαρτοῖς μᾶλλον τοῦ τυχαίου. Ὁ γὰρ τὸν ἑαυτοῦ παῖδα Ἀθανάσιον καλέσας, δηλοῖ τὴν περὶ ταῦτα τῶν ὀνομάτων πλημμέλειαν. Ἔτι δὲ καὶ[27]) τῶν ὀνομάτων ἐχόντων εἶδος καὶ ὕλην, κατὰ μὲν τὸ εἶδος, μᾶλλον τοῦ φύσει μετέχουσι, κατὰ δὲ τὴν ὕλην, μᾶλλον τοῦ θέσει. Καὶ πρὸς μὲν Ἑρμογένη λέγων, χωρίζει τά τε μονίμως ἐν θεοῖς ἱδρυμένα ὀνόματα, οἷον μυρίνη καὶ τὰ τοιαῦτα, καὶ τὰ ἐν ψυχαῖς, οἷον βατίεια[28])· πρὸς δὲ Κρατύλον, ἀποδέχεται μὲν τὴν πρὸς τὰ πράγματα τῶν ὀνομάτων ἀναφορὰν, δείκνυσι δ', ὅτι ἐστὶ καὶ τὸ τυχαῖον πολὺ ἐν τοῖς ὀνόμασιν, ἅμα δὲ καὶ ὅτι οὐ πάντα κινεῖται τὰ πράγματα.

ιά. Ὅτι ὁ μὲν οὐρανὸς μᾶλλον ἔχων τὴν κίνησιν, ἔχει καὶ τὴν στάσιν τρόπον τινὰ, οἷον ἐν τοῖς πόλοις καὶ τοῖς τοιούτοις· ἡ δὲ γῆ μᾶλλον ἔχουσα τὴν στάσιν, ἔχει καὶ τὴν κίνησιν διὰ τὴν ἀλλοίωσιν.

ιβ΄. Ὅτι τὰ ὀνόματα, καὶ τὸ φύσει ἔχοντα, τοῦ θέσει μετέχει, καὶ τὰ θέσει ὄντα καὶ τοῦ φύσει μετείληφεν· καὶ διὰ τοῦτο τὰ ὀνόματα πάντα φύσει, καὶ πάντα θέσει, καὶ τὰ μὲν φύσει, τὰ δὲ θέσει.

ιγ΄. Ὅτι τὰ δύο ταῦτα μειράκια ἐξεναντίας δοξάζοντα, ἄλληλα ἀνατρέποντα μερικῶς, οὐκ ἠδύναντο καθολικῶς τὸ οἰκεῖον κατασκευάσαι· καὶ γὰρ τὸ μὲν καθόλου διὰ τοῦ μερικοῦ ἀνασκευάζεται, οὐκ ἔτι δὲ

---

26) Repone *μηδέν*.

*) Ita sentit quoque S. Empiricus Hypot. II. 18. ub Fabric.

27) V non *καί*.

28) Cratyl. §. 20.

διὰ τοῦ αὐτοῦ τὸ ἀντικείμενον κατασκευάζεται, ἀλλὰ διὰ τοῦ καθόλου· οἷς ὁ Σωκράτης ἐπιγινόμενος καὶ διαιτήσας, διήρθρωσεν τὰ πράγματα ἐπιστημονικῶς.

ιδ´. Ὅτι ὁ μὲν Κρατύλος, ἐπιστημονικὸς ὢν καὶ βραχυλογώτατος, ὅπερ ἦν ἐξαίρετον τῶν Ἡρακλειτίων, διὰ τὸ μὴ φθάνειν ἀμειφθέντα τὰ πράγματα τῇ ἀστάτῳ ἑαυτῶν φύσει, προλαμβάνειν αὐτὰ βουλομένων, δι᾽ ἐλαχίστων φαίνεται συλλαβῶν καὶ ῥημάτων δι᾽ ὅλου τοῦ διαλόγου ἀποκρινόμενος· διὸ καὶ τὸ βούλει ἐκ προοιμίων εὐθὺς τούτῳ ἀνέθηκεν ὁ μιμητικώτατος Πλάτων· ὁ δὲ Ἑρμογένης, δοξαστικὸς ὢν καὶ ταῖς τῶν πολλῶν προσκεχηνὼς δόξαις, τό τε θέσει τῶν ὀνομάτων εἰσήγαγεν, καὶ τὸ εἴ σοι δοκεῖ οἰκειότατα ὑπὸ Κρατύλου ἤκουσεν. Ἡ γὰρ δόκησις τῶν ἀβουλήτων πολλάκις ἐστὶ καὶ προαιρετῶν, ὥσπερ ἡ βούλησις τῶν ἀγαθῶν μόνων.

ιε´. Ὅτι πᾶσα ἡ Ἀπολλωνιακὴ[29]) σειρὰ τῆς δημιουργικῆς τοῦ Διὸς ἐξήρτηται ἡγεμονίας[30]).

ις´. Ὅτι τῆς Κρατύλου δόξης γέγονε Πυθαγόρας τε καὶ Ἐπίκουρος*), Δημόκριτός τε καὶ Ἀριστοτέλης **) τῆς Ἑρμογένους. Ἐρωτηθεὶς γοῦν Πυθαγόρας· τί σοφώτατον τῶν ὄντων; „ἀριθμὸς" ἔφη· τί δὲ δεύτερον εἰς σοφίαν; „ὁ τὰ ὀνόματα τοῖς πράγμασι θέμενος." Ἠνίττετο δὲ διὰ μὲν τοῦ ἀριθμοῦ τὸν νοητὸν διάκοσμον τὸν περιέχοντα τὸ πλῆθος τῶν νοερῶν εἰδῶν· ἐκεῖ γὰρ ὁ πρῶτος[31]) καὶ κυρίως ἀρι-

---

29) AB, ἀπολλωνική.

30) AB, ἡγεμονείας.

*) Vide de illo Epicuri et Pythagorae dogmate Gassend. Epic. t. I. p. 362. collato Fabric. ad S. Empir. Hypot. II. 18.

**) Cf. Gal. ad Jambl. Myst. p. 292.

31) A, πρώτως sic. Hierocles in Aur. Carm. p. 220. Εἰ γὰρ] τὰ ὄντα πάντα ταῖς ἀϊδίοις αὐτοῦ (τοῦ θεοῦ) βουλήσεσιν ὑφέστηκε, δῆλον ὅτι καὶ ὁ ἀριθμὸς ὁ ἐν ἑκάστῳ εἴδει τῶν ὄντων τῆς ἐκείνων αἰτίας ἤρτηται, καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ.

θμὸς μετὰ τὸ ἓν ὑπέστη τὸ περιούσιον[32]), ὃς καὶ τὰ μέτρα τῆς οὐσίας πᾶσι τοῖς οὖσι χορηγεῖ, ἐν ᾧ καὶ ἡ ὄντως σοφία καὶ ἡ γνῶσις ἑαυτῆς οὖσα καὶ πρὸς ἑαυτὴν ἐστραμμένη καὶ ἑαυτὴν τελειοῦσα, καὶ ὥσπερ ἐκεῖ νοητὸν[33]) καὶ νοῦς καὶ νόησις ταυτὸν, οὕτως καὶ ἀριθμὸς καὶ σοφία ταυτόν ἐστι ἐκεῖ· διὰ δὲ τοῦ θεμένου τὰ ὀνόματα, τὴν ψυχὴν ἠνίττετο, ἥτις ἀπὸ νοῦ[35]) μὲν ὑπέστη· καὶ αὐτὰ μὲν τὰ πράγματα οὐκ ἔστιν, ὥσπερ ὁ νοῦς, πρώτως[36]), ἔχει δ' αὐτῶν εἰκόνας καὶ λόγους οὐσιώδεις διεξοδικοὺς, οἷον ἀγάλματα τῶν ὄντων, ὥσπερ τὰ ὀνόματα ἀπομιμούμενα τὰ νοερὰ εἴδη, τοὺς ἀριθμούς· τὸ μὲν οὖν εἶναι πᾶσιν ἀπὸ νοῦ τοῦ ἑαυτὸν γινώσκοντος καὶ σοφοῦ, τὸ δ' ὀνομάζεσθαι, ἀπὸ ψυχῆς τῆς νοῦν μιμουμένης. Οὐκ ἄρα φησὶ Πυθαγόρας,[37]) τοῦ τυχόντος ἐστὶ τὸ ὀνοματουργεῖν, ἀλλὰ τοῦ τὸν νοῦν ὁρῶντος καὶ τὴν φύσιν τῶν ὄντων· φύσει ἄρα τὰ ὀνόματα. Ὁ δὲ Δημόκριτος θέσει λέγων τὰ ὀνόματα, διὰ τεσσάρων ἐπιχειρημάτων τοῦτο κατεσκεύαζεν· ἐκ τῆς ὁμωνυμίας· τὰ γὰρ διάφορα πράγματα τῷ αὐτῷ καλοῦνται ὀνόματι· οὐκ ἄρα φύσει τὸ ὄνομα· καὶ ἐκ τῆς πολυωνυμίας· εἰ γὰρ τὰ διάφορα ὀνόματα ἐπὶ τὸ αὐτὸ καὶ ἓν πρᾶγμα ἐφαρμόσουσιν, καὶ ἐπάλληλα, ὅπερ ἀδύνατον· τρίτον ἐκ τῆς τῶν ὀνομάτων μεταθέσεως· διὰ τί γὰρ τὸν Ἀριστοκλέα μὲν Πλάτωνα, τὸν δὲ Τύρταμον Θεόφραστον μετωνομάσαμεν[38]), εἰ φύσει

32) BV, *ὑπερούσιον*. Quam praetuli lectionem, tuetur Hierocles ibid. p. 222. *ἡ μὲν γὰρ μονὰς, ὡς ἀρχὴ παντὸς ἀριθμοῦ, τὰς πάντων δυνάμεις ἐν ἑαυτῇ συνέχει.*

33) A, *ἐκεῖνον τόν.*

35) Animam ex mente et *ἀλογίᾳ* compositam esse putarunt Philosophorum nonnulli: loca collegit Warren. ad Hierocl. p. 210.

36) V, *πρῶτος.*

37) V, *τοῦ τυχ. καὶ ἐστὶν τό.*

38) V, *μετωνόμασεν.* De re cf. Diogen. Laert. Platon. 5; Olympiod. Vit. Plat. p. 77; et quae collegit ad Theophr. Corayus p. 11.

τὰ ὀνόματα; ἐκ δὲ τῆς τῶν ὁμοίων ἐλλείψεως· διὰ τί ἀπὸ μὲν τῆς φρονήσεως λέγομεν φρονεῖν, ἀπὸ δὲ τῆς δικαιοσύνης οὐκ ἔτι παρονομάζομεν; τύχῃ ἄρα καὶ οὐ φύσει τὰ ὀνόματα. Καλεῖ δὲ ὁ αὐτὸς τὸ μὲν πρῶτον ἐπιχείρημα, πολύσημον, τὸ δὲ δεύτερον, ἰσόῤῥοπον,[39]) τὸ δὲ τέταρτον, νώνυμον. Ἐπιλυόμενοι δέ τινές φασιν, πρὸς μὲν τὸ πρῶτον, ὅτι οὐδὲν θαυμαστὸν, εἰ τὸ ἓν ὄνομα πλείω ἐνεικονίζει[40]) πράγματα, ὡς τὸ ἔ ρ ω ς καὶ ἀπὸ τῆς ῥώμης καὶ ἀπὸ τοῦ πτέρως διάφορα δηλοῖ[41])· πρὸς δὲ τὸ δεύτερον, ὅτι οὐδὲν κωλύει κατ᾽ ἄλλο καὶ ἄλλο δηλοῦν τὰ διάφορα ὀνόματα τὸ αὐτὸ, οἷον, μ έ ρ ο ψ καὶ ἄ ν θ ρ ω π ο ς, κατὰ μὲν τὸ μεμερισμένην ἔχειν ζωὴν, μ έ ρ ο ψ, κατὰ δὲ τὸ ἀναθρεῖν[42]) ἃ ὄπωπεν, ἄ ν θ ρ ω π ο ς· πρὸς δὲ τὸ τρίτον, ὅτι τοῦτο αὐτὸ σημεῖον τοῦ φύσει εἶναι τὰ ὀνόματα, ὅτι μετατίθεμεν τὰ οὐ κυρίως καὶ παρὰ φύσιν κείμενα ἐπὶ τὰ κατὰ φύσιν· πρὸς δὲ τὸ τέταρτον, ὅτι οὐδὲν θαυμαστὸν, εἰ ἐξ ἀρχῆς κείμενα ὑπὸ τοῦ πολλοῦ χρόνου ἐξέλιπον.

ιζ. Ὅτι τὸ φύσει τετραχῶς· ἢ γὰρ ὡς αἱ τῶν ζώων καὶ φυτῶν οὐσίαι ὅλαι τε καὶ τὰ μέρη αὐτῶν, ἢ αἱ τούτων ἐνέργειαι καὶ δυνάμεις, ὡς ἡ τοῦ πυρὸς κουφότης καὶ θερμότης, ἢ ὡς αἱ σκιαὶ καὶ αἱ ἐμφάσεις ἐν τοῖς κατόπτροις, ἢ ὡς αἱ τεχνηταὶ εἰκόνες ἐοικυῖαι τοῖς ἀρχετύποις ἑαυτῶν. ὁ μὲν οὖν Ἐπίκουρος κατὰ τὸ πρῶτον σημαινόμενον ᾤετο φύσει εἶναι τὰ ὀνόματα, ὡς ἔργα φύσεως προηγούμενα, ὡς τὴν φωνὴν καὶ τὴν ὅρασιν, καὶ ὡς τὸ ὁρᾷν καὶ τὸ ἀκούειν*), οὕτως καὶ τὸ ὀνομάζειν, ὥστε καὶ τὸ ὄνο-

---

39) Lacunulam hic exhibet A: deest nomen tertii argumenti. Haec de nominum impositione disquisitio potuit olim legi in Democriti Ὀνομαστικῷ.

40) B, ἐνικονίζει. V, ἐν εἰκονίζει. A, εἰκονίζει.

41) Cf. Platon. Phaedr. §. 32. §. 70.

42) AB, ἄνω θρεῖν. Sed ἀναθρεῖν Vat. firmat locus Cratyli §. 35.

*) Addidi τὸ ante ἀκ. e Gassendo, qui l. c. p. 362. haec

μα φύσει εἶναι ὡς ἔργον φύσεως. Ὁ δὲ Κρατύλος κατὰ τὸ δεύτερον· διὸ καὶ ἴδιόν φησιν ἑκάστου πράγματος εἶναι τὸ ὄνομα, ὡς οἰκείως τεθὲν ὑπὸ τῶν πρώτως θεμένων[42]) ἐντέχνως καὶ ἐπιστημόνως. Ὁ γὰρ Ἐπίκουρος ἔλεγεν, ὅτι οὐχὶ ἐπιστημόνως οὗτοι ἔθεντο τὰ ὀνόματα, ἀλλὰ φυσικῶς κινούμενοι, ὡς οἱ βήσσοντες καὶ πταίροντες[43]) καὶ μυκώμενοι καὶ ὑλακτοῦντες καὶ στενάζοντες. Ὁ δὲ Σωκράτης κατὰ τὸ τέταρτον σημαινόμενον λέγει φύσει εἶναι τὰ ὀνόματα, ὡς διανοίας μὲν ἐπιστήμονος ἔκγονα, καὶ οὐχὶ ὀρέξεως φυσικῆς, ἀλλὰ ψυχῆς φανταζομένης, οἰκείως δὲ τοῖς πράγμασι τεθέντα ἐξ ἀρχῆς κατὰ τὸ δυνατόν· καὶ κατὰ μὲν τὸ εἶδος, τὰ αὐτὰ πάντα καὶ μίαν ἔχει δύναμιν καὶ φύσει ἐστὶν, κατὰ δὲ τὴν ὕλην, διαφέρει ἀλλήλων καὶ θέσει ἐστίν· κατὰ μὲν γὰρ τὸ εἶδος ἔοικε τοῖς πράγμασι, κατὰ δὲ τὴν ὕλην, διαφέρει ἀλλήλων.

ιη. Ὅτι ἔοικεν τὸ μὲν Κρατύλος ὄνομα*) κεῖσθαι, παρὰ τὸ περικρατῆσαι ἀραρότως τῶν Ἡρακλείτου δογμάτων, καὶ διὰ τοῦτο καταφρονῆσαι τῶν ῥευστῶν[44]) ὡς μηδὲ κυρίως ὄντων· τὸ δὲ Σωκράτης, παρὰ τὸ σωτῆρα εἶναι τοῦ κράτους τῆς ψυχῆς, τουτέστι τοῦ λόγου, καὶ μὴ καθέλκεσθαι ὑπὸ τῶν αἰσθήσεων.

ιθ'. Ὅτι τὰ μὲν ἀΐδια ἐκ τῶν δυνάμεων ἢ ἐνεργειῶν ἔλαχεν τῆς ὀνομασίας, τὰ δὲ γεννητὰ[45]) ἐκ τῆς χρείας καὶ κοινωνίας.

---

protulit ab ᾤετο ad ἔργον φύσεως. Deerat articulus meo apographo, forsan mea describentis incuria.

42) A, πρώτων θεμ.

43) AB, πτέοντες. forte πτύοντες. Gassendus l. c. p. 362. haec adponens ab ὁ γὰρ Ἐπ. ad στενάζοντες, habet πταίροντες.

*) Referendum ad Cratyli §. 1.

44) A, ῥαστῶν: permutatione solenni τῶν α et ευ: cf. ad Nicetam Eugen. II. 53.

45) Codd. γενητά: cf. c. 53.

*κ΄. Ὅτι δεῖ τὸν μιμήσασθαί τι βουλόμενον ἐπιστήμονα εἶναι δυοῖν, τοῦ τε ἀρχετύπου καὶ τῆς δημιουργικῆς τέχνης.*

*κα΄. Ὅτι Ἑρμογένης παρ᾽ Αἰσχίνῃ κωμῳδεῖται ὡς χρημάτων ἥττων*[46] *· ἀμέλει τὸν Τηλαυγῆ ἑταῖρον ὄντα καὶ χαρίεντα παρεώρα ἀθεράπευτον. Τὸ δὲ ὄνομα παρὰ τὸ Ἑρμέον*[47] *τὸ κερδαλέον γενέσθαι αὐτῷ, ἢ μᾶλλον ὅτι ὁ Ἑρμῆς θεός ἐστιν κερδῶν ἔφορος· οὗτος δὲ δυστυχὴς ἦν περὶ τὸ κερδαίνειν.*

*κβ΄. Ὅτι διαβέβληνται οἱ Ἡρακλείτιοι καὶ ὡς ἀλαζόνες καὶ ὡς εἴρωνες, καὶ ὡς ὑπερόπται, ἐν τῷ Θεαιτήτῳ ὑπὸ Θεοδώρου*[48]*), καὶ νῦν ὑπὸ Ἑρμογένους, πλὴν οὐχ ὑπὸ φιλοσόφων· ὁ μὲν γὰρ γεωμέτρης, ὁ δὲ νεανίσκος· οὐ γὰρ σχολὴ τῷ ὄντως*[49]*) φιλοσόφῳ τὸν καιρὸν εἰς τοιαῦτα ἀναλίσκειν.*

*κγ΄. Ὅτι οὐκ εὐκαταφρόνητον ἡγεῖται ὁ Σωκράτης τὸ περὶ ὀνομάτων ὀρθότητος σκέμμα, ἀλλὰ διὰ τῆς παροιμίας τοῦ χαλεπὰ τὰ καλὰ εἶναι ἀποσεμνύνειν αὐτό*[50]*).*

*κδ΄. Ὅτι εἰρωνευόμενος νῦν ὁ Σωκράτης διαβάλλει*[51]*) τὸν σοφιστὴν Πρόδικον. Ἐκ γὰρ τῆς δραχμαίας, ὡς ἔοικεν, ἐπιδείξεως κατέγνω καὶ τὴν πεντηκοντάδραχμον ἀπατηλὴν οὖσαν καὶ πορισμοῦ χάριν ἐπιτηδευθεῖσαν· οἱ γὰρ τὰς πεντήκοντα κατα-*

---

46) Cf. Cratyl. §. 3.

47) V, *ἑρμίον.*

48) V, *ἔν τε Θεαιτ.* Cf. Theatet. p. 414. Heind. Quae sequuntur, *νῦν ὑπὸ Ἑρμογ.* refero ad Cratyli §. 1. *εἰρωνεύεται πρὸς ἐμέ.*

49) V, *τῷ ὄντι.*

50) Cf. Cratyl. §. 2. Reponendum forte *ἀποσεμνύνει.* Ad proverbium illustrandum facit Alcidamas de Soph. p. 79. *Ἔστι δὲ ἅπαντα τὰ μὲν ἀγαθὰ καὶ καλὰ σπάνια καὶ χαλεπὰ καὶ διὰ πόνων εἰωθότα γίγνεσθαι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα ῥᾳδίαν ἔχει κτῆσιν.* Cf. Heind. ad loc. Cratyli.

51) Cratyl. §. 2. — Mox B, *κατείνω.* V, *κατ᾽ εἴνω.* V, *πεντήκοντα δραχμῶν.* AB, *πεντήκοντα δραχμήν.* Correxi e Platone.

*βαλλόμενοι δραχμὰς ἠξιοῦντο τῆς ἀκροάσεως. Τὸ δὲ κακοῦργον τοῦ σοφιστοῦ διὰ τῶν τριῶν τούτων δεῖ ἐννοεῖν, ὅτι ἀργυρίῳ ἐτίμα ὁ σοφιστὴς τὴν τελεωτέραν καὶ ἀτελεστέραν γνῶσιν, ὅτι ἐκ μόνης ἀκροάσεως ἐπηγγέλλετο τὴν γνῶσιν ἐντιθέναι*[52]), *ὅτι οὐκ ἐκ τῶν ἄλλων τῆς μαρτυρίας, ἀλλ' ἐκ τῆς αὐτοῦ τοῦ σοφιστοῦ ἀποφάσεως λέγει τὴν τοιαύτην γίνεσθαι γνῶσιν.*

*κέ. Ὅτι τὸ μὲν ζητεῖν*[53]) *ἀπὸ τῆς τοῦ Ἑρμοῦ μητρὸς Μαίας ταῖς ψυχαῖς ἐνδίδοται, ἡ δὲ εὕρεσις ἀπὸ τῆς Ἑρμαϊκῆς σειρᾶς*[*]). *Καὶ γὰρ τὰ ὁλικώτερα γένη τῶν θεῶν καὶ πρὸ τῶν μερικωτέρων ἐνεργεῖ, καὶ μετ' αὐτῶν καὶ ὕστερον· διὸ καὶ ἀτελὴς ἡ ζήτησις, καί, ὡς εἰπεῖν, ὕλην προπαρασκευαζομένην ὁρῶμεν ἐκ τῆς τῶν ὑψηλοτέρων αἰτίων διαδόσεως εἰς τὰ μετέχοντα, οἷον δὲ μορφὴν καὶ εἶδος ἐπιγινόμενον ἐκ τῶν ὑποδεεστέρων.*

*κϛ΄. Ὅτι οἱ μὲν σοφισταὶ χαίρουσι τοῖς ἐπιδεικτικοῖς λόγοις, οἱ δὲ φιλόσοφοι τοῖς διαλογικοῖς· καὶ πάλιν ὡς εἰδωλοποιοὶ οἱ σοφισταὶ ὑποδύονται τὸν διαλεκτικόν, καὶ οὕτως γίνεται ἡ ἐριστικὴ αὐτῶν ἐνόχλησις.*

*κζ΄. Εἰ αἱ τοῦ Σωκράτους εἰρωνεῖαι οὐκ*[54]) *ὀφείλουσι χηρεύειν ἀληθείας, πῶς λέγει νῦν μὴ εἰδέναι τὸ ἀληθές*[55]); *ἢ τοῦτο λέγει, ὅτι καθ' ἕξιν εἰδώς, οὐκ οἶδεν κατὰ προχείρησιν; ἢ ὅτι πολὺ ἐν τοῖς ὀνόμασι τὸ μὴ ὂν καὶ ἀόριστον, διὰ τὴν τῆς γενέσεως πλημμέλειαν;*

*κή. Ὅτι τῆς Ἑρμαϊκῆς δόσεως, τὰ μέν ἐστι νοερὰ καὶ πρῶτα ἀγαθά, τὰ δὲ δεύτερα καὶ τῆς διανοίας τελεσιουργά, τὰ δὲ τρίτα καὶ τῆς ἀλογίας καθαρτικά, καὶ διαφερόντως τῶν φανταστικῶν κινήσεων με-*

---

52) B, *ἐντθύναι.* Voluit librarius *ἐνθεῖναι.*

53) Referendum videtur ad *συζητεῖν* in Cratylo §. 2.

*) Cf. nota ad Marin. p. 121.

54) A sine *οὐκ.* B sine *τοῦ.*

55) Cratyl. §. 2.

τρητικά, τὰ δὲ τῶν τῆς φύσεως λόγων ὑποστατικά, τὰ δὲ καὶ τῶν ἔξω πορίμων δυνάμεων καὶ τῶν κερδῶν χορηγά· ταῦτα γάρ ἐστι[56]) τὰ ἔσχατα τοῦ θεοῦ δῶρα καὶ ἔνυλα, ἅπερ, ὥς φασιν οἱ ἀστρολόγοι, ἐν ταῖς ἀδόξοις διαθέσεσιν ὁ θεὸς δίδωσιν*).

κθ'. Ὅτι τῷ φιλοσόφῳ προσήκει ἥκιστα μὲν περὶ τῶν καθ' ἕκαστα πραγμάτων διαλέγεσθαι, φησὶν ὁ Πλάτων, πρὸς δὲ τὴν τῶν ὅλων καὶ κοινῶν ἀνάγεσθαι θεωρίαν.

λ'. Τὸ συνημμένον Ἑρμογένους οὕτως· εἰ ἔστι μετάθεσις τῶν ὀνομάτων, θέσει τὰ ὀνόματά[57]) ἐστι καὶ σύμβολα τῶν πραγμάτων· ἀλλὰ μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. Τὸ δὲ συνημμένον τοῦ Πρόκλου οὕτως· εἰ τὰ ὀνόματα σύμβολα τῶν πραγμάτων καὶ θέσει, οὐκ ἔτι χρείαν ἔχομεν τῆς τῶν ὀνομάτων μεταθέσεως· ἀλλὰ μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. Καὶ συνάγεται ἐν πρώτῳ σχήματι· εἰ ἔστι μετάθεσις τῶν ὀνομάτων, κακῶς ἄρα οἱ περὶ Ἑρμογένη φασίν· εἰς γὰρ τὰ καθ' ἕκαστα ἑώρων μόνον, οὐκ ἔτι δὲ[58]) καὶ εἰς τὰ ἴδια· τῶν γὰρ ἀϊδίων καὶ τὰ ὀνόματα θεῖα καὶ σεβάσμια, ὡς ἱερὰ θεῶν, τὰς δυνάμεις τε καὶ ἐνεργείας τῶν θεῶν ἀποτυπούμενα, ἅπερ καὶ ὁ ἐν Φιλήβῳ Σωκράτης σέβει, καὶ πέρα τοῦ μεγίστου φόβου περὶ αὐτὰ εὐλάβειαν ἔχει[59]).

λα'. Ὅτι ὁ Ἑρμογένης ὀρθότητά τινα οἴεται[60]) εἶναι τῶν ὀνομάτων, ἀλλὰ ταύτην ἐξηρτῆσθαι τῆς θέσεως. Ὥσπερ εἴ τις λέγοι[61]) τὸ δίκαιον ὀρθὸν μὲν εἶναι, ἀλλὰ θέσει (ἄλλο γὰρ παρ' ἄλλοις), τί

---

56) AB, εἰσι. Mox A, ἀδόξαις.
*) Hoc caput descripsit Creuzer. in Melet. Crit. t. I. pag. 34.
57) A, τὰ ὀνόμ. εἰ ἔστι. B omittit θέσει — πραγμάτων. Haec refero ad Cratyl. §. 3.
58) V non καί. B modo μόνων. Forte, τὰ ἀΐδια.
59) Cf. infra c. 56. Locus Philebi est c. 5.
60) Cratyl. §. 3. 6.
61) AB, λέγει.

οὖν ἂν εἴποι ἐπὶ τῶν ἐν τοῖς ἀϊδίοις κειμένων ὀνομάτων;

λβ΄. Ὅτι τὸ τοῦ Ἑρμογένους ἦθος φιλομαθὲς καὶ φιλόλογον καὶ φιλάληθες παραδέδοται ἐξ ὧν λέγει αὐτός 62).

λγ΄. Ὅτι τρισὶν ἐπιχειρήμασιν ὁ Σωκράτης διελέγχει τὴν Ἑρμογένους θέσιν, ὧν τὸ μὲν πρῶτον ἐντρεπτικὸν, τὸ δὲ δεύτερον βιαστικὸν 63), τὸ δὲ τρίτον πειθοῦς τελεωτάτης αἴτιον. Καὶ ἔστι τὸ μὲν πρῶτον τοιοῦτον· εἰ θέσει τὰ ὀνόματα, ἔσται ὁμοίως καὶ ἰδιώτης καὶ πόλις κυρία τῆς τῶν πραγμάτων ὀνομασίας, καὶ κληθήσονται τὰ πράγματα ἄλλως καὶ ἄλλως, καὶ ἀμειφθήσονται πολυσχεδῶς, διὰ τὸ ἀόριστον εἶναι τὸ τῶν καθέκαστα τυχαῖον καὶ ἄνευ ἐπιστήμης προαιρόμενον καὶ δοκοῦν· ἀλλὰ μὴν οὐ τὸ ἑπόμενον, οὐδ᾽ ἄρα τὸ ἡγούμενον.

λδ΄. Ὅτι παντὸς πράγματος τὴν ἄπληστον μετουσίαν ἀνατρέπειν καὶ ἑαυτὴν ὅλην, ὁ ἐν Πολιτείᾳ λέγει Σωκράτης.

λέ. Ὅτι αἱ ψυχαὶ πρὸ τοῦ πεσεῖν εἰς γένεσιν εἶχον πάντα φανὰ καὶ αὐταῖς γνώριμα, καὶ ἡ μία ταῖς πάσαις ἐγινώσκετο, καὶ αἱ πᾶσαι τῇ μιᾷ.

λς΄. Ὅτι ἄλλο βούλεται δηλοῦν ἡ παρὰ Ἀριστοτέλει ἀλήθεια τοῦ ἀποφαντικοῦ λόγου, καὶ ἄλλο ἡ παρὰ Πλάτωνι νῦν λεγομένη 64), καθ᾽ ἣν, φησὶ, καὶ τὰ ὀνόματα καθ᾽ αὑτὰ λεγόμενα ἀληθεύουσιν. Ἡ μὲν γὰρ τοῦ Ἀριστοτέλους τὴν σύνθεσιν καὶ διαίρεσιν λέγει τοῦ κατηγορουμένου καὶ ὑποκειμένου ἔχειν τό τε ψεῦδος καὶ τὸ ἀληθές· ὁ δὲ μέγας Πλάτων τετραχῶς οἶδε τῷ τῆς ἀληθείας καὶ ψεύδους χρῆσθαι σημαινομένῳ· ἢ γὰρ κατὰ τὰς ὑπάρξεις αὐτὰς

---

62) Cratyl. §. 3. ubi Hermogenes: *ἕτοιμος ἔγωγε καὶ μανθάνειν καὶ ἀκούειν.*

63) AB, *βλαστικόν*. Cum Vaticanus nunc non sit ad manum, non possum dicere, habeat *βιαστικὸν*, an e correctione scripserim. — Mox AB *ἔστι*, non *ἔσται*.

64) Cratyl. §. 7. 8. — AB, *λέγομεν*.

τῶν πραγμάτων, ὡς ὅταν τὰ μὲν ὄντως ὄντα ἀληθῶς εἶναι λέγῃ, τὰ δὲ οὐκ ὄντως ὄντα, ψευδῶς· ἢ κατὰ τὰ πάθη τὰ ἐπακολουθοῦντα ταῖς προηγουμέναις κινήσεσιν, ὥσπερ ἀληθῆ καὶ ψευδῆ διεῖλεν ἡδονὴν ὁ ἐν Φιλήβῳ Σωκράτης· ἢ κατὰ τὰς γνώσεις, ὡς ὅταν διορίζηται ψευδεῖς δόξας καὶ ἀληθείας· ἢ κατὰ τὰ ὄργανα τῆς γνωστικῆς ζωῆς, οἷον τοὺς λόγους καὶ τὰ ὀνόματα καὶ τὰ στοιχεῖα· καὶ γὰρ ἐν τούτοις ὁρᾷ[65]) τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος κατὰ τὴν πρὸς τὰ πράγματα ἐφάρμοσιν καὶ συμφωνίαν. Ἔχουσι[66]) δὲ καὶ οἱ ῥήτορες ἰδέαν λόγου τινὰ, ἣν καλοῦσιν ἀλήθειαν.

λζʹ. Ὅτι Ἀντισθένης ἔλεγεν μὴ δεῖν ἀντιλέγειν· πᾶς γὰρ, φησὶ, λόγος ἀληθεύει· ὁ γὰρ λέγων[67]), τὶ λέγει· ὁ δὲ τὶ λέγων, τὸ ὂν λέγει· ὁ δὲ τὸ ὂν λέγων, ἀληθεύει. Ῥητέον οὖν πρὸς αὐτὸν, ὅτι ἔστι καὶ τὸ ψεῦδος, καὶ οὐδὲν κωλύει τὸν τὸ ὂν λέγοντα ψεῦδος λέγειν· καὶ ἔτι ὁ λέγων περί τινος λέγει, καὶ οὐχὶ τὶ λέγει.

ληʹ. Τὸ κατὰ Πρωταγόρου ἐπιχείρημα τοιοῦτον[68])· εἰ οἷα φαίνεται ἑκάστῳ τὰ πράγματα, τοιαῦτα εἰσὶν, οὐκ ἔσονται οἱ μὲν φρόνιμοι τῶν ἀνθρώπων, οἱ δὲ ἄφρονες· ἀλλὰ μὴν οὐ τὸ δεύτερον, οὐδ᾽ ἄρα τὸ πρῶτον.

λθʹ. Ὅτι πᾶς πονηρὸς δι᾽ ἄγνοιαν τῶν ὡς ἀληθῶς ἀγαθῶν ταύτην νοσεῖ τὴν νόσον, καὶ ἄκων ἐστὶ τοιοῦτος· οὐδενὶ γὰρ αἱρετὸν τὸ οἰκεῖον κακόν.

μʹ. Ὅτι μᾶλλον οἱ κακοὶ γινώσκονται ὑπὸ τῶν ἀγαθῶν ἀνδρῶν, ἤπερ ἡ τῶν ἀγαθῶν ἀρετὴ τοῖς κακοῖς φανερὰ, διότι τυφλὸν ἡ κακία, καὶ ἀγνοεῖ πρῶτον [ἑαυτὴν[69]), εἶτα καὶ τοὺς ἄλλους, καὶ ὅτι οἱ μὲν

---

65) V, ὁρᾶν.

66) V, ἔχ. καί. — De rhetorica *veritate* cf. Ernesti Lexic. Technolog.

67) V, ὁ παραλέγων.

68) cf. Cratyl. §. 6. 7.

69) V, ἐπ᾽ αὐτήν. Modo omisit ἤ.

κακοὶ, οὐ τοσοῦτον δύνανται τῆς ἀγαθουργίας τῶν καλῶν ἀπολαῦσαι διὰ ἠλιθιότητα, οἱ δὲ καλοὶ[70]) μᾶλλον κακύνονται πάσχοντες ὑπὸ τῶν πονηρῶν· τὰ γὰρ χερείονα, φασὶ, νικᾷ*)· καὶ ὁ Σωκράτης μᾶλλον μετέλαβεν τῆς τοῦ Ἀνύτου κακουργίας, ἤπερ τῆς Σωκράτους ἀγαθότητος ἐκεῖνος ἀπώνατο.

μά. Ὅτι ἄλλο τὸ Πρωταγόρου δόγμα καὶ ἄλλο τὸ Εὐθυδήμου. Τὸ μὲν γὰρ λέγει, ὅτι οὐδὲν ὂν τὸ ὑποκείμενον φαντάζεται τοιὸν ἢ τοιὸν[71]) παρὰ τοῖς αἰσθανομένοις διὰ τὴν σύμμιξιν τοῦ ποιοῦντος καὶ πάσχοντος· τὸ δὲ τοῦ Εὐθυδήμου[72]) ἕκαστον ποιεῖ τὰ πάντα ὂν ἅμα καὶ ἀεὶ, καὶ πάντα ἀληθεύειν, οἷον, τὸν λέγοντα τὸ ξύλον λευκὸν καὶ μέλαν, καὶ μικρὸν καὶ μέγα, καὶ ξηρὸν καὶ ὑγρὸν, καὶ τὰς τούτων ἀποφάσεις πάσας ἀληθεύειν. Ἐκ διαφόρων οὖν ἀρχῶν ὁρμώμενοι οὗτοι οἱ σοφισταὶ εἰς τὸ αὐτὸ καταλήγουσιν.

μβ΄. Ὅτι ἡ τῆς πρώτης ἀπειρίας δύναμις πᾶσι τοῖς ὁπωσοῦν εἶναι δυναμένοις ἀφ᾽ ἑαυτῆς δίδωσι τὴν πρόοδον, τὸ δὲ πέρας ἕκαστον ἀφορίζει καὶ περιγράφει καὶ ἵστησιν ἐν οἰκείοις ὅροις· ὥσπερ καὶ ἐπὶ τῶν ἀριθμῶν, τὸ μὲν εἶδος πᾶσιν ἀπὸ τῆς μονάδος ἐφήκει καὶ τοῦ πέρατος, τὸ δ᾽ ἀνέκλειπτον κατὰ τὴν πρόοδον ἀπὸ τῆς γονίμου δυάδος· ὥστε ἕκαστον τῶν ὄντων φύσιν ἔχει τινὰ, καὶ ὅρον, καὶ ἰδιότητα, καὶ τάξιν οἰκείαν διὰ τὸ πρῶτον πέρας· ἔστιν ἄρα καὶ ἡ ἀντίφασις ἐν τοῖς λόγοις ὡρισμένως[73]) τὸ ψεῦδος καὶ τὸ ἀληθὲς παριστᾶσα.

μγ΄. Ὅτι τὸ πράττειν ἐπὶ μόνων τῶν κατὰ διάνοιαν ἐνεργούντων λέγεται, ἐπὶ δὲ τῶν ἄλλων τὸ ποιεῖν. Ἔχουσιν οὖν καὶ πράξεις καὶ αἱ ποιήσεις

---

70) Codd. *κακοί.*

*) Pindar. Isthm. 4. 56. *κρέσσον᾽ ἀνδρῶν χειρόνων ἔσφαλλε τέχνα καταμάρψαισα.*

71) V sine *ἢ τοιόν.*

72) Cratyl. §. 8.

73) A, *ὡρισμένη.*

ἰδίους ὅρους καὶ ὄργανα καὶ καιροὺς, καὶ οὐ τὸ τυχὸν εἰς τὸ τυχὸν ποιεῖ ἢ πράττει[74]).

μδ΄. Ὅτι τὸ λέγειν ὑπὸ τὸ πράττειν*) ἐστὶν, ἐκ διαιρέσεως τοιαύτης δείκνυται· πᾶσα γὰρ ψυχῆς ἐνέργεια ἢ ἄνευ σώματος γίνεται, καὶ ἔστι τοῦτο φαντασία, δόξα, νόησις, ἢ μετὰ σώματος, καὶ τοῦτο διττόν· ἢ γὰρ ἀπροαίρετος, καὶ ἔστι τοῦτο αἴσθησις καὶ κίνησις ἀκούσιος, ἢ μετὰ προαιρέσεως, καὶ ἔστι τοῦτο πρᾶξις, ὑφ᾽ ἣν ἡ διάλεξις.

μέ. Ἄπορον πῶς τὸ ὀνομάζειν λέγειν ἐστίν**)· εἰ γὰρ τὸ ὄνομα μή ἐστι λόγος, οὐδὲ τὸ ὀνομάζειν λέγειν ἂν εἴη. Ἢ πρῶτον μὲν τὸ ὀνομάζειν μέρος εἶπεν τοῦ λέγειν εἶναι καὶ οὐχὶ λέγειν, ὥσπερ καὶ τὸ ὄνομα τοῦ λόγου μέρος, ἀλλ᾽ οὐ λόγος. Εἰ δὲ τὸ μὲν τῆς πράξεως μέρος, πρᾶξις, τὸ δὲ τοῦ λόγου μέρος, οὐ λόγος, θαυμαστὸν οὐδέν· καὶ γὰρ τὸ μὲν τοῦ σώματος μέρος, σῶμα, τὸ δὲ τοῦ προσώπου μέρος, οὐ πρόσωπον· καί τοι καὶ τοῦτο σῶμά ἐστιν, ὥσπερ καὶ τὸ λέγειν πρᾶξις· ἀλλὰ τὰ μὲν ὁμοιομερῆ, τὰ δ᾽ ἀνομοιομερῆ. Δεύτερον δ᾽ ὅτι τὴν ἀκολουθίαν οὐκ ἀναγκαῖον σώζεσθαι τὴν αὐτὴν ἐπί τε τῶν εἰδῶν καὶ τῶν κινήσεων· ἔστι δ᾽ ὁ μὲν λόγος καὶ τὸ ὄνομα εἴδη καὶ τέλεια καὶ ὅλα, αἱ δὲ κινήσεις κατὰ μέρος ὑφίστανται, καὶ διὰ τοῦτο καὶ τὸ ὀνομάζειν λέγειν τί ἐστι· διὰ γὰρ τοῦ ὀνομάζειν πρόεισι τὸ λέγειν. Τὸ δὲ τρίτον, ὅτι καὶ τὸ λέγειν διττὸν καὶ ὁ λόγος, τὰ μὲν κατὰ τοῦ ὅλου λεγόμενα τοῦ ἐξ ὀνομάτων ὑφεστῶτος, τὰ δὲ κατὰ πάσης φωνῆς σημαντικῆς· οὕτω γὰρ καὶ Ἀριστοτέλης ἐν Κατηγορίαις τὴν δόξαν λόγον προσείρηκεν· καὶ ἡ συνήθεια δὲ τὸ λέγειν τάττει καὶ κατὰ τῶν ψιλῶς ὄνομα προσφερομένων· εἰώθαμεν γὰρ[75]) ἐπιτάττειν τισὶ τὸ ὄνομα

74) Discrimen inter *ποιητικὸς* et *πρακτικὸς* explicat Coraius ad Isocr. p. 220.

*) Cf. Cratyl. §. 10.

**) Cratyl. ibid.

75) AB, *προσφερομένης*. Codd. *ψιλῶν*. Scripsi *ψιλῶς*: forte, *ψιλόν*. AB sine *γάρ*.

τὸ ἑαυτῶν καὶ ἄλλων[76]) λέγειν, οἱ δὲ ποιοῦσι τὸ ἐπιταχθέν.

μς. Προκείσθω δεῖξαι, ὅτι τὸ ὀρθὸν ὄνομα φύσει καὶ οὐ θέσει τὴν ὀρθότητα ἔλαχεν[77]), καὶ πρῶτον λεκτέον οὕτως· εἰ τὸ ὀνομάζειν ἢ[78] τὰ πράγματα πέφυκεν γινόμενον ὀρθῶς ἔχει, τὸ ὄνομα φύσει τῆς ὀρθότητος τυγχάνει· ἀλλὰ μὴν τὸ πρῶτον· καὶ τὸ δεύτερον ἄρα. Δεύτερος λόγος ἀναλύων τὴν πρόσληψιν· εἰ τὸ λέγειν διὰ τὰ πράγματα ἔχει τὸ ὀρθὸν, καὶ τὸ ὀνομάζειν ἢ τὰ πράγματα πέφυκεν γινόμενον ὀρθῶς ἔχει· ἀλλὰ μὴν τὸ πρῶτον· καὶ τὸ δεύτερον ἄρα. Τρίτος λόγος ἀναλύων τοῦ δευτέρου τὴν πρόσληψιν· εἰ πᾶσα πρᾶξις κατὰ τὴν πρὸς τὰ πράγματα οἰκειότητα εὖ πράττεται, καὶ τὸ λέγειν διὰ τὰ πράγματα ἔχει τὸ ὀρθόν· ἀλλὰ μὴν τὸ πρῶτον· καὶ τὸ δεύτερον ἄρα. Τέταρτος ἀναλύων τοῦ τρίτου τὴν πρόσληψιν· εἰ τὰ πράγματα πάντα ἔχει τινὰ φύσιν ἰδίαν, καὶ οὐκ εἰσὶ θέσει αἱ πράξεις, κατὰ τὴν πρὸς τὰ πράγματα οἰκειότητα εὖ πράττονται· ἀλλὰ μὴν τὸ πρῶτον· καὶ τὸ δεύτερον ἄρα. Πέμπτος ἀναλύων τοῦ τετάρτου τὴν πρόσληψιν· εἰ μήτε πάντα ἐστὶν ὁμοίως πᾶσι καὶ ἀεὶ, μήτε ἰδίᾳ ἑκάστῳ ἕκαστον, ἔχει[79]) τινὰ φύσιν τὰ πράγματα ἰδίαν ἕκαστον· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. Ἕκτος ἀναλύων τοῦ πέμπτου τὴν πρόσληψιν· εἰ τῶν ἀνθρώπων οἱ μὲν πάνυ φρόνιμοί εἰσιν, οἱ δ' ἄφρονες, οὔτε πάντα

---

76) V, ἢ ἄλλων. B, καὶ ἄλλων τι λ.

77) AB, ἔλαβεν. Plato Leg. I. init. θεὸς ἤ τίς ἀνθρώπων ὑμῖν, ὦ ξένοι, εἴληφε τὴν αἰτίαν τῆς τῶν νόμων διαθέσεως. Scholiastes Arati Phaenom. v. 1. inter alias mutationes εἴληχε habet pro εἴληφε. Vide Schaeferum ad Dionys. p. 321. Apud Theophylactum Simoc. Q. Nat. p. 8. permutantur σχοῦσα et λαχοῦσα. Loquitur de palma arbore femina: πρὸς τὸ οἰκεῖον τοὺς κλάδους ἐπανήγαγε σχῆμα, ὥσπερ διὰ τῶν κάλων τὴν τοῦ ἄῤῥενος σχοῦσα συνάφειαν. Codex 3044. λαχοῦσα, quod utique praetulerim: codex 993. ὥσπ. δ. τ. κ. τῆς τοῦ ἄ. λαχούσης συναφείας.

78) V, ἤ. AB, ἤ. infra V, ἤ. AB, ἤ.

79) AB, ἔχειν.

ἐστὶν ὁμοίως πᾶσι καὶ ἀεὶ, οὔτε ἰδίᾳ ἑκάστῳ τῶν ὄντων ἕκαστον· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. Ἕβδομος ἀναλύων τοῦ ἕκτου τὴν πρόσληψιν· εἰ τῶν ἀνθρώπων οἱ μὲν πάνυ χρηστοί εἰσιν, οἱ δὲ πάνυ πονηροὶ, οἱ μὲν πάνυ φρόνιμοί εἰσι τῶν ἀνθρώπων, οἱ δὲ πάνυ ἄφρονες· ἀλλὰ μὴν τὸ πρῶτον· καὶ τὸ δεύτερον ἄρα.

μζ. Εἰ τὰ ὀνόματα κατὰ τὸν Ἀριστοτέλην θέσει *) ἐστὶν καὶ σύμβολα τῶν πραγμάτων καὶ τῶν νοημάτων, δεῖ καὶ τοὺς ἐξ αὐτῶν συγκειμένους λόγους ἀποφαντικοὺς θέσει ὄντας, μὴ λέγεσθαι ὑπ᾽ αὐτοῦ ἐκείνου ἐοικέναι τοῖς συνθέτοις νοήμασι, μηδὲ καθ᾽ αὑτοὺς δεκτικοὺς εἶναι ἀληθείας ἢ ψεύδους· ἀλλὰ μὴν οἱ ἀποφαντικοὶ λόγοι οὐσιωδῶς ἔχοντες τὸ ψεύδεσθαι ἢ ἀληθεύειν, οὐ θέσει τοῦτο ἔχουσι, οὐδ᾽ ἄρα τὰ ὀνόματα θέσει.

μη. Εἰ ὁ ὀνομάζων πᾶς **) πράττει τι, ὁ δὲ πράττων δι᾽ ὀργάνου πράττει, καὶ ὁ ὀνομάζων ἄρα δι᾽ ὀργάνου ὀνομάζων ὀργάνῳ χρῆται τῷ ὀνόματι· ἀλλὰ τῶν ὀργάνων τὰ μὲν φύσει, ὡς χεὶρ, ποῦς, τὰ δὲ θέσει, ὡς χαλινὸς, καὶ τὸ ὄνομα· τοιοῦτον γὰρ ***) ἐστι· τούτων δὲ τῶν τεχνητῶν †), τὰ μὲν πρὸς τὸ ὑφιστάνειν τι πεποίηται, ὡς τὸ σκέπαρνον, τὰ δὲ πρὸς τὸ σημαίνειν καὶ διδάσκειν· τοιοῦτον οὖν καὶ τὸ ὄνομα· ὄργανον γάρ ἐστι [80]) διδασκαλικὸν καὶ ἐκφαντορικὸν τῆς τῶν πραγμάτων οὐσίας, καὶ ἔστι τὸ μὲν ἐν τῷ τοιούτῳ ὅρῳ παραληφθὲν ἀπὸ τοῦ χρωμένου τῷ ὀργάνῳ, τὸ δ᾽ ἐκφαντορικὸν ἀπὸ τοῦ παραδείγματος. Δεῖται δ᾽ ὡς μὲν ὄργανον, τοῦ χρωμένου, ὡς δὲ εἰκὼν, τῆς πρὸς τὸ παράδειγμα ἀναφορᾶς· ὥστε δῆλον ἐκ τούτων, ὅτι οὐκ ἔστι τὸ ὄνομα σύμβολον, οὐδὲ θέσεως ἔργον τῆς τυχούσης, ἀλλὰ

*) Vide Origen. contra Cels. I. p. 18 extr.

**) A sine *πᾶς*.

***) AB, *καὶ τὸ ὄνομα τοιοῦτόν ἐστι.*

†) AB, *τεχνιτῶν*.

80) Cratyl. §. 12 sqq.

συγγενὲς τοῖς πράγμασι καὶ φύσει οἰκεῖον· πᾶν γὰρ ὄργανον πρὸς τὸ οἰκεῖον ἔργον συντέτακται, καὶ οὐκ ἂν ἄλλῳ τινὶ ἁρμόσειεν ἢ ἐκείνῳ πρὸς ὃ γέγονεν· ὥστε καὶ τὸ ὄνομα, ἅτε ὂν ὄργανον, ἔχει τινὰ συμφυᾶ δύναμιν καὶ τοῖς σημαινομένοις συνηρμοσμένην, καὶ, διδασκαλικὸν ὂν, ἐκφαντορικὴν ἔχει τάξιν τῶν νοημάτων, καὶ, διακριτικὸν ὂν τῆς οὐσίας, γνῶσιν ἡμῖν ἐμποιεῖ τῶν πραγμάτων· καὶ αὕτη μὲν ἡ ἐπιχείρησις ἐκ τοῦ εἴδους ἐστὶ τοῦ ὀνόματος, ὥσπερ ἡ πρὸ αὐτῆς ἀπὸ τοῦ παραδείγματος ἦν, τουτέστι τῶν πραγμάτων.

μθ΄. Ὅτι τοῦ Ἀριστοτέλους λέγοντος εἶναι τὸν λόγον σημαντικὸν, οὐχ ὡς ὄργανον δὲ*), ἀλλὰ θέσει (οὐδὲν γὰρ, φησὶν, ἐστὶ θαυμαστὸν, τῆς φωνῆς φύσει οὔσης ὥσπερ τῆς σωματικῆς κινήσεως, εἶναι θέσει τὰ ὀνόματα, ὥσπερ τὴν ὄρχησιν), ὁ Πρόκλος ἀντιλέγει οὕτως· τὸ ὄνομα οὐκ ἔστιν ἀποτέλεσμα τῶν φυσικῶν ὀργάνων· ᾗ γὰρ ὄνομα[81]), σημαντικόν ἐστί τινος· οὐ γὰρ ταὐτὸν ὄνομα καὶ φωνή. Τὴν μὲν οὖν φωνὴν τὰ φυσικὰ ὄργανα ἀποτελεῖ, οἷον γλῶσσα καὶ ἀρτηρία καὶ πλεύμων[82]) καὶ τὰ τοιαῦτα, τὸ δ᾽ ὄνομα συναπεργάζονται μὲν καὶ ταῦτα διὰ τὴν ὕλην, μάλιστα δ᾽ αὐτὸ ἡ διάνοια ἀποτελεῖ τοῦ ὀνοματοθέτου, ἥτις καὶ τὴν ὕλην συναρμόζει πρὸς τὸ εἶδος καὶ τὸ παράδειγμα δεόντως. Χρῆται δ᾽ αὐτῷ[83]) ὁ διαλεκτικὸς κειμένῳ· πᾶν γὰρ ὄργανον ἔχει καὶ τὸν χρώμενον καὶ τὸν ποιητὴν, καὶ πᾶν τὸ χρώμενον ἔχει καὶ τὴν ποιητικὴν αἰτίαν, καὶ πᾶν τὸ ἔχον τὴν ποιητικὴν αἰτίαν ὑπουργεῖ τινὶ πρὸς τὴν ἐνέργειαν, ἂν μὴ αὐτόγονον ᾖ καθυπόστατον. Εἰ οὖν καὶ τὸ ὄνομα τοιοῦτον, ὁ μὲν ἐστιν αὐτοῦ ποιητὴς, ὁ δὲ χρῆται αὐτῷ γεγονότι, καὶ ἔστι τοῦ μὲν ἔργον, τοῦ δὲ ὄργα-

---

*) Aristot. de Interpret. III. 4. 4.

81) V, ἢ γ. ὄν. πᾶν ὄνομα σημ. Scripsi ᾗ pro codicum lectione ἤ.

82) AB, πνεύμων.

83) Codd. αὐτό.

νόν. Καὶ οὔτε διὰ τοῦτο φύσει, ὅτι τῆς φύσεως ἀποτέλεσμα, οὔτε διὰ τοῦτο ὄργανον, ὅτι δύναμις αὐτῷ χρῆται φυσική τις· ἀλλὰ τὸ ποιοῦν αὐτὸ τέχνη ἐστὶ καὶ τὸ χρώμενον. Ἐπεὶ δὲ καὶ τὸ ποιοῦν πρὸς τὰ πράγματα βλέπον ποιεῖ, καὶ τὸ χρώμενον[84]) διὰ τὴν τῶν πραγμάτων διάκρισιν αὐτῷ χρῆται, διὰ τοῦτο λέγεται φύσει καὶ ὡς ἀποτέλεσμα καὶ ὡς ὄργανον· καὶ γὰρ εἰκὼν ἀποτελεῖται τῶν πραγμάτων καὶ ἐξαγγέλλει αὐτὰ διὰ μέσων τῶν νοημάτων. Ὄργανον οὖν εἰκότως εἴρηται τὸ ὄνομα διδασκαλικὸν, μικρὸν δ' ὕστερον καὶ ἀποτέλεσμα προσρηθήσεται νομοθετικόν. Καὶ ἔστιν τοῦτο ἕνεκα τοῦ διαλεκτικοῦ· τέλος γὰρ καὶ ἀγαθὸν τὸ ἐκφαίνειν τὰ πράγματα. Διὸ μᾶλλον ὄργανον αὐτὸ εἶναι λέγει ὁ Σωκράτης ἐκ τοῦ κρείττονος αὐτὸ ἀποσεμνύνων. Μέσον οὖν ἐστὶ τοῦτο ὄργανον τοῦ τε διδάσκοντος καὶ τοῦ[85]) μανθάνοντος· καὶ οὐκ ἄρα ἦν μία τοῦτο ποιοῦντος ἐνέργεια καὶ τοῦ πάσχοντος, ὡς φησὶν Ἀριστοτέλης, ἀλλὰ τρεῖς τοὐλάχιστον αἱ κινήσεις, ἡ μὲν τοῦτο ποιοῦντος, ἡ δὲ τοῦτο ποιουμένου, ἡ δὲ τοῦ ὀργάνου μεταξὺ ἀμφοῖν.

ν΄. Ὅτι ἡ κερκὶς καὶ τὸ[86]) τρύπανον οἰκεῖα παραδείγματα τῷ ὀνόματι· καὶ γὰρ τὸ ὄνομα διακρίνει μὲν τὰ πράγματα ἐξ ἀλλήλων, εἰσδύνει[87]) δὲ εἰς τὸν μανθάνοντα διὰ βάθους τῆς ἐννοίας αὐτοῦ.

να΄. Ὅτι ὥσπερ ὁ ἐν Γοργίᾳ Σωκράτης, τοῦ Καλλικλέους ἀντιδιαιροῦντος τὸ κατὰ νόμον δίκαιον καὶ τὸ κατὰ φύσιν, ἀπέδειξε τὸν νόμον καὶ τὴν φύσιν ἐπὶ τοῦ δικαίου συντρέχοντα ἀλλήλοις, ἀλλὰ καὶ[88]) ἐν τῷ Μίνῳ τὸ αὐτὸ ποιεῖ· οὕτω δεῖ νοεῖν καὶ τὰ ὀνόματα εἶναι νόμῳ καὶ φύσει, ἀλλ' οὐ τῷ τυχόντι νόμῳ, ἀλλὰ τῷ αἰωνίῳ, καὶ κατὰ λόγους ἀϊδίους

---

84) V. omittit ἐπεὶ . . . χρώμενον.
85) AB, διδ. ὡς μανθ.
86) AB, ἡ κ. ὥς τι τρύπ. cf. Cratyl. §. 12. et infra c. 53.
87) V, ἠδύνει.
88) Hic et infra AB ἀλλὰ sine καί.

ὑφεστηκότι. Τὸ γοῦν ὄνομα διὰ μὲν τὴν ποιητικὴν αἰτίαν ἐπιστημονικὴν οὖσαν, νόμῳ καὶ θέσει, διὰ δὲ τὴν παραδειγματικὴν αἰτίαν, φύσει. Ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, πῶς ὕστερον πρὸς Κρατύλον λέγων δείξει, ὅτι οὐ μόνον τὸ ὀρθῶς κείμενον δεῖ ὄνομα καλεῖν, ἀλλὰ καὶ τὸ μὴ ὀρθῶς; Ῥητέον οὖν πρὸς τοῦτο, ὅτι μὲν νόμος τοῦ καθόλου ἐστὶ θεωρητικός. Ὅσα οὖν ~~ὀνόματα~~ ἐπὶ τοῖς ἀϊδίοις κεῖται, νόμῳ ταῦτά ἐστι[89]) κείμενα, ἀλλ' ἐπεὶ εἰσι καὶ τῶν φθαρτῶν ὀνόματα, οὐδὲν θαυμαστὸν, εἰ ὁ μὲν καθόλου νόμος τούτων οὐ περικρατεῖ, τὸ δὲ τυχαῖον ἐν τούτοις πολὺ, οἷον ὁ καλούμενος ἀμβρόσιος, ἢ ἀθανάσιος, ἢ πολυχρόνιος, καὶ τὰ ὅμοια. Τίς δὲ ἡ τῶν ὀνομάτων ποιητικὴ τέχνη, συντόμως εἴπωμεν· οὐ γὰρ πᾶν ἐστὶν ἐν αὐτῇ τὸ τῆς νομοθετικῆς εἶδος. Ὅτι μὲν οὖν ἐστί τις ἐν ψυχῇ εἰκαστικὴ δύναμις, δῆλον (καὶ γὰρ ἡ ζωγραφία καὶ αἱ τοιαῦται ταύτης ἐξήρτηνται τῆς δυνάμεως), ἀφομοιωτικὴ οὖσα τῶν δευτέρων πρὸς τὰ κρείττονα, καὶ τῶν ἐν συνθέσει φερομένων εἰδῶν πρὸς τὰ ἁπλούστερα. Καὶ πάλιν κατὰ τὴν αὐτὴν δύναμιν ἡ ψυχὴ δύναται ἑαυτὴν ἐξομοιοῦν τοῖς κρείττοσιν ἑαυτῆς[90]), θεοῖς, ἀγγέλοις, δαίμοσιν· ἀλλὰ καὶ τὰ δεύτερα ἐξ αὐτῆς ἢ[91]) ἀφ' ἑαυτῆς ἐξομοιοῖ πρὸς ἑαυτὴν διὰ τῆς αὐτῆς δυνάμεως, καὶ ἔτι πρὸς τὰ κρείττω ἑαυτῆς. Διὸ θεῶν τε ἀγάλματα καὶ δαιμόνων δημιουργεῖ, βουλομένη δ' ἀΰλους τρόπον τινὰ καὶ μόνης τῆς λογικῆς οὐσίας ἐγγόνους ὑποστῆσαι τῶν ὄντων ὁμοιότητας, ἀφ' ἑαυτῆς, χρωμένη τῇ λεκτικῇ φαντασίᾳ συνεργῷ, τὴν τῶν ὀνομάτων παρήγαγεν οὐσίαν· καὶ ὥσπερ ἡ τελεστικὴ διὰ δή τινων συμβόλων καὶ ἀποῤῥήτων συνθημάτων[92]) τὰ τῆδε ἀγάλματα τοῖς θεοῖς ἀπεικάζει, καὶ ἐπι-

89) AB, ταῦτα ἔσται.
90) AB, ἑαυτοῖς. Mox AB ἀλλὰ sine καί.
91) V omittit ἐξ αὐτῆς ἤ.
92) AB, αἰθημάτων.

*τήδεια ποιεῖ πρὸς ὑποδοχὴν τῶν θείων ἐλλάμψεων, οὕτω δὲ καὶ*[93]) *ἡ νομοθετικὴ κατὰ τὴν αὐτὴν ἀφομοιωτικὴν δύναμιν ἀγάλματα τῶν πραγμάτων ὑφίστησι τὰ ὀνόματα, διὰ τοίων καὶ τοίων*[94]) *ἤχων ἀπεικονιζομένη τὴν τῶν ὄντων φύσιν, καὶ ὑποστήσασα παρέδωκεν εἰς χρῆσιν τοῖς ἀνθρώποις. Καὶ διὰ τοῦτο λέγεται κύριος εἶναι τῆς τῶν ὀνομάτων γενέσεως ὁ νομοθέτης, καὶ ὥσπερ εἰς τὰ τῶν θεῶν*[95]) *ἀγάλματα πλημμελεῖν οὐχ ὅσιον, οὕτως οὐδὲ περὶ τὰ ὀνόματα ἁμαρτάνειν εὐαγές· νοῦς γάρ ἐστιν ὁ νομοθετικὸς τούτων δημιουργὸς, εἰκόνας αὐτοῖς ἐνθεὶς τῶν παραδειγμάτων, καὶ χρὴ σέβειν αὐτὰ διὰ τὴν πρὸς θεοὺς αὐτῶν συγγένειαν. Καί μοι δοκεῖ τὸν νομοθέτην ὁ Πλάτων ἀνάλογον ἱδρύων τῷ ὅλῳ δημιουργῷ (καὶ γὰρ ὁ τοὺς εἱμαρμένους νόμους τιθεὶς, ἐκεῖνός ἐστι, κατὰ Τίμαιον, καὶ ὁ πάντα**) *διαθεσμοθετῶν, ᾧ συνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρὸς, ὥς φησιν ὁ Ἀθηναῖος***) *Ξένος), εἰκότως αὐτῷ καὶ τὴν τῶν ὀνομάτων ἀποδοῦναι ποίησιν, ἐπεὶ καὶ ὁ ὅλος δημιουργὸς κατ᾿ αὐτὸν πρώτιστός ἐστιν ὀνοματουργός· αὐτὸς οὖν ἐστὶν, ὡς ὁ Τίμαιος λέγει, ὁ τὴν μὲν τῶν περιφορῶν αὐτοῦ, τὴν δὲ θατέρου* †) *προσαγορεύσας. Εἰ οὖν καὶ ὁ νομοθέτης ἀνάλογόν ἐστιν ἐκείνῳ, πῶς οὐχὶ καὶ αὐτὸν κύριον εἶναι δεῖ τῆς θέσεως τῶν ὀνομάτων; Διὸ καὶ ἐν τούτοις δημιουργὸν προσεῖπεν*[96]) *τὸν νομοθέτην καὶ τὸν δημιουργῶν σπανιώτατον****). *Οὕτως δὲ καὶ ὁ ἐν τῷ Φαίδρῳ*[97]) *Σωκράτης τὸν ἵμερον ὄνομά φησιν εἶναι ὑπὸ τοῦ Διὸς τεθὲν, ὃν Ζεὺς Γανυμήδους ἐρῶν ἵμερον ὠνόμασεν. Τῶν οὖν ὀνομάτων τὰ μέν ἐστιν ἔκγονα τῶν θεῶν, ἥκοντα καὶ μέχρι ψυχῆς, τὰ δὲ, ψυχῶν μερικῶν διὰ νοῦ καὶ ἐπιστή-*

---

93) B, *οὕτως καί.*
94) B non *καὶ τοίων.*
95) Addidi *θεῶν.*
*) Plato Tim. §. 29.
**) In Platonis Legg.
†) Plat. Tim. §. 19.
96) V. *πρόειπε.*
***) Cratyl. §. 13.
97) Phaedr. §. 79.

μης αὐτὰ δημιουργεῖν δυναμένων, τὰ δὲ διὰ τῶν μέσων γενῶν ὑφιστάμενα. Καὶ γὰρ δαίμοσί τινες καὶ ἀγγέλοις προστυχεῖς γεγονότες, ἐδιδάχθησαν παρ' αὐτῶν ὀνόματα μᾶλλον προσήκοντα τοῖς πράγμασιν, ἢ ὅσα ἄνθρωποι ἔθεντο. Καὶ χρὴ τὰς διαφορὰς αὐτῶν γνωρίζειν τὰς ἀπὸ τῶν ποιητικῶν αἰτιῶν δεδομένας, καὶ πάντα ἀνάγειν εἰς τὸν ἕνα δημιουργὸν τὸν νοερὸν[98]) θεόν· ὅθεν καὶ τὸ ὄνομα διττὰς ἔχει δυνάμεις, τὴν μὲν διδασκαλικὴν τῶν ἐννοιῶν καὶ κοινωνίας αἰτίαν, τὴν δὲ διακριτικὴν[99]) τῆς οὐσίας, ἐπεὶ ὁ δημιουργὸς διττὰς ἔχει δυνάμεις, ταυτοποιόν τε καὶ ἑτεροποιόν.

νβ'. Ὅτι ἡ τοῦ δημιουργικοῦ νοῦ ἀφομοιωτικὴ ἐνέργεια διττή ἐστιν· ἡ μὲν καθ' ἣν τὸν ὅλον ὑφίστησι κόσμον, πρὸς τὸ νοητὸν παράδειγμα βλέπων, ἡ δὲ καθ' ἣν ἐπιφημίζει πρέποντα ὀνόματα ἑκάστοις, περὶ ὧν ἐπιβραχὺ μὲν καὶ ὁ Τίμαιος ἐνεδείξατο*), τρανέστερον δὲ οἱ θεουργοὶ διδάσκουσιν, καὶ αἱ παρὰ τῶν θεῶν αὐτῶν φῆμαι·

Ἀλλ' ὄνομα σεμνὸν καὶ ἀκοιμήτῳ στροφάλιγγι
Κόσμοις ἐνθρῶσκον κραιπνὴν διὰ πατρὸς ἐνιπήν[100]).

Καὶ ἄλλο λόγιον τοῦτο·

Σύμβολα γὰρ πατρικὸς νόος ἔσπειρεν κατὰ κόσμον,
Ὅς τὰ νοητὰ νοεῖ καὶ ἄφραστα κάλλη νοεῖται[101]).

Οὕτως οὖν καὶ ὁ νομοθέτης τήν τε ἀρίστην πολιτείαν

---

98) V non τὸν νοερόν.

99) V, τὴν δὲ ἀκριτικήν.

*) Plato Tim. §. 19.

100) V, ἀλλά ἐστιν οὔνομα — στροφάλιγγόσμοις. A, ἀλλ' οὔνομα. B, ἀλλὰ ὄνομα. Cf. cap. 70. Hinc sumtum oraculum suae collectioni Taylorus, vir in Platonicorum philosophia versatissimus, inseruit t. 17. Classicae Valpyii Ephemeridis p. 255, cum varietate, sed ea non probae lectionis.

101) A, ἔπειρεν. B, ἔπειρον. V, ἔσπειρεν: quod firmat editum Oraculum ab Opsopoeo: *Σύμβολα γὰρ πατρικὸς νόος ἔσπειρεν ταῖς ψυχαῖς.* V, καλληεῖται. Forte, καὶ ἄφραστα τὰ καλὰ νοεῖται. Taylorus, qui hoc Oraculum e Nostri libro in suum Oraculorum Syntagma transtulit t. 17.

πρὸς τὸν ὅλον κόσμον ὁρῶν παραδίδωσι, καὶ τὰ ὀνόματα ἐοικότα τοῖς οὖσι τίθεται.

νγ΄. Ὅτι τῶν μὲν ἐνταῦθα τεχνητῶν διωρισμένας αἰτίας καὶ παραδείγματα ἀπολείπειν οὐκ ἀνεκτόν· τὰ γὰρ ἐκείνων ἀποτελέσματα οὐσίαι τέ εἰσι καὶ μέτρα οἰκεῖα, καὶ τὴν εἰς τὸ πᾶν ἀναφορὰν ἔχει, καὶ διὰ τῆς φύσεως πρόεισι, τὰ δὲ τεχνητὰ πάντα καὶ ἀνούσιά ἐστι, καὶ πρὸς τὰς ἡμετέρας χρείας καὶ περιστάσεις παντοίως μεταβάλλεται καὶ ὅρον οὐδένα ἔχει τῶν μερῶν ἢ τῆς ἐν αὐτοῖς θέσεως, καὶ διέστηκε τῶν φύσει συνισταμένων. Εἰ*) δέ τις αὐτὰς τὰς ποιητικὰς καὶ γονίμους δυνάμεις τῶν θεῶν, ἃς εἰς τὸ πᾶν προάγουσι, τέχνας προσαγορεύοι δημιουργικὰς καὶ νοερὰς καὶ γεννητικὰς καὶ τελεσιουργούς, οὐκ ἂν οὐδ᾽ ἡμεῖς ἀποδοκιμάσαιμεν τὴν τοιαύτην προσηγορίαν, ἐπεὶ καὶ τοὺς θεολόγους εὑρίσκομεν διὰ τούτων τὰς θείας ποιήσεις ἐνδεικνυμένους, καὶ τοὺς μὲν Κύκλωπας ἁπάσης τεχνικῆς ποιήσεως αἰτίους λέγοντας, οἳ καὶ τὸν Δία καὶ τὴν Ἀθηνᾶν καὶ τὸν Ἥφαιστον ἐδίδαξαν, τὴν δ᾽ Ἀθηνᾶν τῶν τ᾽ ἄλλων τεχνῶν καὶ διαφερόντως τῆς ὑφαντικῆς προστατεῖν, τὸν δ᾽ Ἥφαιστον ἄλλης ἰδίως ἔφορον τέχνης, αὐτὴν δὲ τὴν ὑφαντικὴν ἀρχομένην μὲν ἀπὸ τῆς δεσποίνης Ἀθηνᾶς (Ἤδε γὰρ ἀθανάτων προφερεστάτη ἐστὶν ἁπασέων Ἱστὸν ὑφήνασθαι, ταλασήϊά τ᾽ ἔργα πινύσσειν, φησὶν[102]) Ὀρφεύς), προϊοῦσαν δ᾽ εἰς τὴν ζωογόνου τῆς**) Κόρης σειράν· καὶ γὰρ αὕτη καὶ πᾶς αὐτῆς ὁ χορὸς ἄνω μενούσης ὑφαίνειν λέγονται τὸν διάκοσμον τῆς ζωῆς), μετεχομένην δὲ ὑπὸ πάντων τῶν ἐν κόσμῳ θεῶν (καὶ γὰρ ὁ εἷς δημιουργὸς τοῖς νέοις δημιουρ-

---

p. 247. Class. Ephemeridis, exhibet, καὶ ἄφραστα καλλωπίζει. Oportuit saltem ἄφραστον vel ἀφράστως.

*) Inde ad κόσμῳ θεῶν, descripsit Werfer in Actis Monac. t. 2, p. 119.

102) V, ἤδη γάρ. AB, ἐφήνασθαι. V, ταλασσήια. — Vide Orph. fr. 29.

**) Werfer non habet, ζωογόνου τῆς.

γοῖς προσυφαίνειν τῷ ἀθανάτῳ παρακελεύεται τὸ θνητὸν εἶδος τῆς ζωῆς), περατουμένην δ' εἰς τοὺς τῆς γενέσεως προστάτας θεοὺς, ὧν ἐστὶν καὶ ἡ παρ' Ὁμήρῳ Κίρκη πᾶσαν ὑφαίνουσα τὴν ἐν τῷ τετραστοίχῳ ζωὴν, καὶ ἅμα ταῖς ᾠδαῖς ἐναρμόνιον ποιοῦσα τὸν ὑπὸ σελήνην τόπον. Ἐν ταύταις οὖν ταῖς ὑφαντικαῖς καὶ ἡ Κίρκη ὑπὸ τῶν θεολόγων παραλαμβάνεται, χρυσῇ *) μέν τοι, καθάπερ φασὶν, ἐνδεικνύμενοι τὴν νοερὰν αὐτῆς καὶ ἄχραντον οὐσίαν καὶ ἄϋλον καὶ ἀμιγῆ πρὸς τὴν γένεσιν, καὶ τὸ ἔργον αὐτῆς διακρίνειν τὰ ἑστῶτα τῶν κινουμένων καὶ χωρίζειν κατὰ τὴν ἑτερότητα τὴν θείαν. Εἴ τις οὖν, ὅπερ ἔλεγον, κατὰ ταύτας τὰς ἀναλογίας ἐκπεριτρέχων, τὰς μὲν τῶν θεῶν δυνάμεις αἰτίας ἐπονομάζει τῶν τεχνῶν τούτων, τὰ δ' ἀποτελέσματα αὐτῶν ἐκλάμψεις τῶν δυνάμεων τούτων δι' ὅλου τοῦ κόσμου φοιτώσας, ὀρθῶς ἂν λέγοι. Δεῖ γὰρ οὐ τὴν παρ' ἡμῖν μόνον ὑφαντικὴν τῆς Ἀθηνᾶς ἐξάπτειν, ἀλλὰ πρὸ ταύτης τὴν διὰ τῆς φύσεως ἐνεργοῦσαν, καὶ συνάπτουσαν τὰ μὲν γεννητὰ [103]) τοῖς ἀϊδίοις, τὰ δὲ θνητὰ τοῖς ἀθανάτοις, τὰ δὲ σώματα τοῖς ἀσωμάτοις, τὰ δ' αἰσθητὰ τοῖς νοεροῖς, καὶ τὴν τεκτονικὴν ὅλην ἐν ταῖς φύσεσι πρῶτον θεωρεῖν καὶ τῶν ἄλλων ἑκάστην τεχνῶν· ὥστε καὶ ἡ κερκὶς ἀνάλογον ἔσται**) πανταχοῦ διακρίνουσα τὰ γένη τὰ συστατικὰ τῶν ὄντων, ἵνα μετὰ τῆς συμπλοκῆς αὐτῶν καὶ ἡ διαίρεσις μένῃ καὶ σώζῃ τὴν ἑαυτῶν ὕπαρξιν εἰλικρινῆ· διὸ καὶ τοὺς παρ' ἡμῖν τεχνίτας ὑπὸ θεοῖς πράττειν ἐφόροις καὶ προστάταις, καὶ οὐ διὰ τοῦτο τὰ νοητὰ θεωρεῖν· οὐ γὰρ εἰς ἐκεῖνα βλέποντες ποιοῦσιν, ἀλλ' εἰς τὰ παρ' αὐτοῖς εἴδη καὶ τοὺς λόγους, οὓς ἔχουσι τῶν τεχνητῶν, καὶ τούτους ἢ εὑρόντες ἢ παρ' ἄλλων εἰσδεξάμενοι. Ὁ μὲν γὰρ πρῶτος τῆς κλίνης ἢ τῆς κερκίδος δημιουργὸς ἐννενόηκεν τὸ

---

*) Ap. Creuzer. Melet. 1. p. 24. ab χρυσῇ ad γένεσιν.
103) V, γενητά.
**) Cf. supra c. 50.

ποίαν[104]) εἶναι δεῖ τὴν κερκίδα, πρὸς τὴν χρείαν ἀποβλέπων καὶ ὑπὸ ταύτης ποδηγούμενος[105]), καὶ λόγον συνεστήσατο περὶ ἑαυτῷ κερκίδος· οἱ δὲ παρὰ τούτου μαθόντες ἔγνωσάν τε τὸ εἶδος καὶ κατ' ἐκεῖνο ποιοῦσι τὸ τῆς κερκίδος εἴδωλον, καὶ οὕτως οὐκ ἂν θαυμάσαις, εἰ ἀνεμνήσθησαν[106]), ἤτοι ἐν ἄλλῳ βίῳ μαθόντες ἔτυχον, ἢ τότε εὑρόντες ἢ κατὰ τὸ τῆς ψυχῆς ἐπινοητικὸν ἢ κατὰ ἀνάμνησιν πάλιν. Ἕκαστος οὖν τεχνίτης ἔχει τὸν τῆς κερκίδος λόγον, ὅτι ἐστὶ τοιαδὶ, καὶ τοῦδε ἕνεκα γίνεται, καὶ πρὸς τοῦτον ἀπεικάζει τὰ ἐκτός· ἡ γὰρ τέχνη τί ἄλλο ἐστὶν ἢ τὸ τεχνητὸν ἔξω τῆς ὕλης ἐν τῇ τοῦ τεχνίτου ψυχῇ; Καὶ ὁρᾷς, ὅπως ταῦτα μιμήματά ἐστι τῆς δημιουργικῆς τέχνης καὶ τῶν νοερῶν εἰδῶν· ἐκείνων γὰρ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἱδρυμένων[107]) καὶ τὰ ἐν τῷ κόσμῳ φθειρόμενα σώζεται, καὶ πάλιν ἀνανεοῦται διὰ τὴν ἐκείνων μόνιμον ταυτότητα· καὶ ἡ μὲν φθορὰ παρὰ τὴν ὕλην, ἡ δὲ μόνιμος ταυτότης διὰ τὸ αἰώνιον εἶδος, ὥσπερ καὶ ταῖς ἐνταῦθα κερκίσιν ἡ μὲν φθορὰ παρὰ τὴν ὕλην, ἡ δὲ παλιγγενεσία διὰ τὸν ἐν τῷ τεχνίτῃ λόγον. Ὅπερ οὖν καὶ ἡ κερκὶς πρὸς τὸν τέκτονα, τοῦτο τὰ ὀνόματα πρὸς τὸν νομοθέτην, καὶ τὰ ἐγκόσμια πάντα πρὸς τὸν δημιουργόν. Τὰ οὖν εἴδη τριχῶς, νοερῶς, ἐπιστημονικῶς, δοξαστικῶς· τῶν μὲν νοερῶν τὰ αἰσθητὰ πάντα, τῶν δ' ἐπιστημονικῶν τὰ ὀνόματα, τῶν δὲ δοξαστικῶν αἱ κερκίδες· ὅτι τὰ εἴδη πάντα τῶν ὀργάνων οἰκείας ἔχειν ἑαυτοῖς δεῖ τὰς ὑποδεχομένας ὕλας συνηρμοσμένας πρὸς τὸ ἔργον ἐφ' ὃ δεόμεθα τοῦ ὀργάνου· καὶ γὰρ τὸ τῆς τέχνης παράδειγμα ἡ φύσις οὐ μόνον[108]) τοῦ τῶν ὀργάνων εἴδους ἐπιμελεῖται, ἀλλὰ καὶ[109]) τῆς οἰκειοτάτης ὕλης.

104) V, *ποῖον.*
105) V, *δηγούμενος.* A, *ὑποδηγ.*
106) A, *ἀνέσθησαν.* B, *ἀνεθνήσθησαν.*
107) V, *ἱδρυμένα.*
108) V, *μόνων.*
109) AB sine *καί.*

*νδ΄. Ὅτι διττὴ ἡ τοῦ παντὸς δημιουργία. Ἡ μὲν γὰρ τοὺς ἐπὶ πάντα διατείνοντας ὑφιστᾶσα*[110]) *λόγους, καὶ τὰ εἴδη τὰ ὡσαύτως ἔχοντα καὶ μηδεμίαν ὑπομένοντα μεταβολήν· ἡ δὲ τὰς μεριστὰς προςτιθεῖσα τοῖς γινομένοις διαφορότητας· οἷον, τὸ μὲν ἀνθρώπειον εἶδος ἄνωθεν ἀπὸ τῆς μιᾶς ἐφήκει καὶ ὅλης νοερᾶς δημιουργίας διὰ μέσων τῶν ἀστέρων, διὸ*[111]) *καὶ ἀεί ἐστιν ὡς ἐξ ἀκινήτου γινόμενον αἰτίας· ἐπειδὴ δ᾽ οἱ ἄνθρωποι διαφέρουσιν ἀλλήλων μεγέθεσι καὶ χροιαῖς καὶ τοῖς τοιούτοις, δῆλον ὅτι αὗται αἱ διαφορότητες ἐκ τῆς τῶν νέων θεῶν δευτέρας δημιουργίας προσυφαίνονται καί εἰσι πολυμετάβλητοι, διὰ τὸ ἐκ κινουμένων αἰτίων γίνεσθαι. Γίνεται δὲ τοῦτο, ἵνα ἡ τῶν ὄντων ποικιλία γίνηται καὶ ἡ ἀειγενεσία πολλαπλασιάζηται τῶν καθέκαστα. Αἱ γὰρ οὐράνιοι περίοδοι ἄλλοις ἄλλα ἀποπληροῦσι, καὶ ἄλλοτε ἄλλα*[112]) *παράγουσι, καὶ ἓν τὸ ἐκ πάντων λέγμα συντελοῦν πρὸς τὴν τοῦ παντὸς συμπλήρωσιν ἀπεργάζονται.*

*νε΄. Ὅτι ἡ κερκὶς εἰκών ἐστι τῆς διακριτικῆς τῶν ὅλων καὶ τῶν μεριστῶν δυνάμεως τῶν θεῶν. Ἐκείνης γὰρ τὴν ἐνέργειαν ἐν τοῖς στήμοσιν ἀποτυποῦται, καὶ σύνθημα φέρει τῆς τάξεως τῶν διακριτικῶν θεῶν. Καὶ ὅταν οἱ θεολόγοι κερκίδας ἐπ᾽ ἐκείνων παραλαμβάνωσιν*[113]*, οὔτε ἰδέαν λέγουσι κερκίδος, οὔτε θέσει καὶ συμβολικῶς μόνον χρῶνται τῷ ὀνόματι. Διὰ τί γὰρ κερκίδα μᾶλλον καὶ οὐκ ἄλλο τι λέγουσι; πῶς γὰρ οὐκ ἄτοπον τὴν ἐπιστήμην, ὡς ἔτυχεν, χρῆσθαι τοῖς ὀνόμασι, καὶ ταῦτα ἐπὶ θεῶν; Ἀλλά μοι δοκοῦσι κατ᾽ ἀναλογίαν τὰ τοιαῦτα παραλαμβάνειν. Ὃ γάρ ἐστι κερκὶς ἐπὶ τῆς ὑφαντικῆς, τοῦτο ἡ διάκρισις ἐπὶ τῆς δημιουργίας τῶν εἰδῶν. Ἡ δ᾽ ἀναλογία οὔτ᾽ ἰδέας ἐστὶ πρὸς εἴδωλον σχέσις, οὔτε θέσει μόνον, οἷον ὡς ὁ Πλάτων*

---

110) AB, *ἐφιστᾶσα.* 111) V, *δι᾽ ὅ.*
112) V, *ἄλλο καὶ ἄλλα.* 113) AB, *παραλαμβάνουσιν.*

ἵππους *) καλεῖ τὰς τοιάσδε τῶν ψυχῶν δυνάμεις, οὔτε ὡς ἔτυχεν, οὔτε ἰδέας λέγων τῶν αἰσθητῶν ἵππων ἐκείνας, ἀλλὰ τῇ ἀναλογίᾳ χρώμενος [114]). Ὅθεν δὴ καὶ οἱ τελεσταὶ διὰ τῆς τοιαύτης οἰκειότητος συμπαθῆ τὰ τῇδε ποιοῦντες τοῖς θεοῖς, χρῶνται τοῖς ὀργάνοις τούτοις ὡς συνθήμασι τῶν θείων δυνάμεων, οἷον, κερκίδι μὲν τῶν διακριτικῶν [115]), κρατῆρι δὲ τῶν ζωογονικῶν [116]), σκήπτρῳ δὲ τῶν ἡγεμονικῶν, κλειδὶ δὲ τῶν φρουρητικῶν, καὶ οὕτως ἐπὶ τῶν ἄλλων, ἀναλογίᾳ χρώμενοι καλοῦσιν.

νϛʹ. Ὅτι ἀναλόγως ὡς ἔχουσι τὰ πράγματα πρὸς ἄλληλα [117]), οὕτως καὶ τὰ ἐπ' αὐτοῖς ὀνόματα πρὸς ἄλληλα ἔχει κατά τε τιμὴν καὶ κατὰ δύναμιν. Διὸ καὶ τὰ τῶν θεῶν ὀνόματα τίμια καὶ σεβάσμια, καὶ πέρα τοῦ μεγίστου φόβου τοῖς σοφοῖς [118]) ἄξια, τὰ δὲ τῶν ἀνθρώπων ἢ δαιμόνων ἀναλόγως. Διὸ φασὶν **), οὐ δεῖ τοὺς Ἕλληνας Αἰγυπτίοις ὀνόμασι χρῆσθαι θεῶν, ἢ Σκυθικοῖς, ἢ Περσικοῖς, ἀλλ' Ἑλληνικοῖς· χαίρουσι γὰρ οἱ κλιματάρχαι ταῖς τῶν οἰκείων χωρῶν διαλέκτοις ὀνομαζόμενοι. Πρὸς τὸν τοῦ Ἀριστοτέλους λόγον τὸν οὕτως συλλογιζόμενον, „τὰ μὲν φύσει παρὰ πᾶσι τὰ αὐτὰ, τὰ δ' ὀνόματα „οὐ παρὰ πᾶσι τὰ αὐτὰ, ὥστε τὰ φύσει ὄντα οὐκ „εἰσὶν ὀνόματα καὶ τὰ ὀνόματα οὐκ εἰσὶ φύσει,“ ἐνίσταται Πρόκλος, πρὸς μὲν τὴν μείζονα πρότασιν οὕτως· εἰ τὸ ὄνομα εἶδός ἐστιν ἐν διαφόρῳ ὕλῃ ὁρώμενον, παρὰ πᾶσίν ἐστι τὸ αὐτὸ, ἅτε εἶδος ὄν· ἀλλὰ μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα· πρὸς δὲ τὴν ἐλάττονα οὕτως· φύσει ὁ ὀφθαλμὸς καὶ ἡ

---

*) Respicit Phaedri locum celeberrimum §. 57 sqq.

114) Codd. *χρώμενοι.*

115) V, *οἱ κερκίδι.* — Codd. *τὴν διακριτικήν.*

116) V, *ζωνικῶν.*

117) V, *ἄλλα.*

118) Cf. c. 30 extr.

**) Referri posse videtur ad Oraculum: *ὀνόματα βάρβαρα μή ποτ' ἀλλάξῃς:* ubi vide Psellum p. 70. collato omnino Origene contra Cels. 1, p. 19.

φωνὴ καὶ τὸ χρῶμα καὶ τὰ μεγέθη, ταῦτα δ' οὐ παρὰ πᾶσι τὰ αὐτά. Διὰ τὴν ἐπίτασιν καὶ ἄνεσιν τὴν τοσαύτην, οὐ πᾶν ἄρα τὸ φύσει παρὰ πᾶσι τὸ αὐτό· εἰ δὲ καὶ ταῖς προτάσεσί τις συγχωροίη, ἀλλ' οὖν τὸ συμπέρασμα οὐ μᾶλλον Ἀριστοτελικόν ἐστιν ἤπερ[119]) Πλατωνικόν· φαίη γὰρ ἂν καὶ ὁ Πλάτων οὐ φύσει τὸ ὄνομα εἶναι, πρὸς Κρατύλον διαλεγομένου Σωκράτους ὕστερον· διττὸν γὰρ ἦν τὸ φύσει, ὥσπερ καὶ τὸ θέσει.

νζ΄. Εἰ ὁ διαλεκτικὸς διδασκαλικός ἐστιν, οὗτος δὲ ὡς ὀργάνῳ χρῆται τῷ ὀνόματι, οὗτος δὲ κάλλιστα κρίνειεν ἂν τὸν ποιοῦντα τὸ ὄνομα, οὗτος δὲ ἐπιστάτης ἐστὶ τῷ νομοθέτῃ, καὶ ὁ διαλεκτικὸς ἄρα ἐπιστάτης ὢν τοῦ νομοθέτου*), οὐ συγχωρεῖ αὐτῷ εἰκαίως καὶ ὡς ἔτυχεν τιθέναι τὰ ὀνόματα, ἀλλὰ στοχαζόμενον ἀναγκάσει αὐτὸν τῆς τῶν πραγμάτων φύσεως τοῦτο ποιεῖν.

νη΄. Ὅτι ὁ μὲν Ἀριστοτέλης τὸν ὑπηρετοῦντα δημιουργὸν τὴν ὕλην γνωρίζειν μᾶλλον ἀφορίζεται, τὸν δὲ χρώμενον μᾶλλον τὸ εἶδος· ὁ δὲ Πλάτων νῦν τὸν μὲν ὑπηρέτην τῷ καλῷ ἀφορίζεται, τὸν δὲ ἀρχιτέκτονα καὶ χρώμενον τῷ ἀγαθῷ. Οὐ γὰρ, ὥσπερ ὁ Ἀριστοτέλης οὐδὲν ἡγεῖται τοῦ εἴδους σεμνότερον, οὕτως καὶ ὁ μέγας Πλάτων, ἀλλ' οἶδεν καὶ τὸ ἀγαθὸν ἐπέκεινα τοῦ καλοῦ, καὶ τὸν θεὸν ἐπέκεινα τῆς τῶν εἰδῶν οὐσίας.

νθ΄. Εἰ τὸ ὄνομα καὶ διδασκαλικὸν**) καὶ διαλεκτικὸν ὄργανον νῦν εἴρηκεν, δῆλον ὅτι ὁ διαλεκτικὸς καὶ διδασκαλικὸς ἂν εἴη. Πῶς οὖν ὁ Σωκράτης διαλεκτικὸν μὲν ἑαυτὸν εἶναι λέγει, οὐκέτι δὲ καὶ διδασκαλικόν; Ἢ διττὸν τὸ διδάσκειν, τὸ μὲν, ὅσα ἔξωθέν τις λέγων ἐντίθησιν τῷ μανθάνοντι, οἷον ὀρχεῖσθαι ἢ γράφειν, τὸ δὲ, ὅσα διὰ ἀναμνήσεως ἀποκαθαιρομένης τῆς ψυχῆς εἰς ἐπιστήμην

119) V, ἤ.
*) Cratyl. §. 16.
**) Cf. Cratyl. §. 12.

*προκαλεῖται· οὐ γὰρ ἀγράφῳ γραμματείῳ ἔοικεν ἡ ψυχὴ, οὐδὲ δυνάμει ἔχει τὰ πράγματα, ἀλλ' ἐνεργείᾳ κατακεχωσμένα. Τί οὖν μόνῳ τῷ διαλεκτικῷ ἐστὶν ὄργανον τὸ ὄνομα, ἢ καὶ παντὶ ἀνθρώπῳ; Ἢ τὸ λεγόμενον, ὅτι τέμοι ἄν τις τὴν ἄμπελον καὶ σμίλῃ, ἀλλ' ἡ ὀρθὴ χρῆσις δρεπάνῳ τοῦτο ποιεῖ, οὕτως οὖν καὶ ἡ ὀρθὴ χρῆσις τῶν ὀνομάτων μόνῳ ἁρμόττει τῷ ὀρθῶς χρωμένῳ· οὗτος δέ ἐστιν ὁ διαλεκτικός.*

ξ'. *Εἰ ὁ χρώμενος τῷ ὀργάνῳ κρείσσων ἐστὶ*[120]) *τοῦ δημιουργήσαντος ὡς ἀρχιτεκτονικώτερος, πῶς ἡ μερικὴ ψυχὴ χρῆται τῇ τε ἀλόγῳ καὶ τῷ ὀστρεΐνῳ σώματι ὑπὸ τῶν νέων δημιουργουμένοις θεῶν; ἢ καὶ ἡ ψυχὴ συντελεῖ πρὸς τὴν δημιουργίαν αὐτῶν, καὶ οἱ νέοι θεοὶ χρῶνται ὡς ὀργάνοις τούτοις, καὶ δεῖ καταλλήλως αὐτὰ λαμβάνειν, τὴν μὲν ὅλην δημιουργίαν εἰς τὴν τοῦ ὅλου, φασὶ, χρῆσιν, τὴν δὲ μεριστὴν εἰς τὴν μεριστήν.*

ξα'. *Εἰ τῷ τοῦ νομοθέτου ἔργῳ χρῆται μὲν καὶ*[121]) *ὁ διαλεκτικὸς, ὡς κρείττων, χρῆται δὲ καὶ ὁ δικαστὴς, ὡς χείρων· ἄτοπον φαίνεται. Ἢ ὁ μὲν ὡς ὀργάνῳ χρῆται, ὁ δὲ ὡς ἀρχῇ καὶ θέσει. Καὶ γὰρ ἡ μεριστὴ ψυχὴ τῷ μὲν δαίμονι χρῆται ὡς ἄρχοντι καὶ ἐφόρῳ, τῷ δὲ σώματι ὡς ὀργάνῳ· καὶ γὰρ ἐν τοῖς παραδείγμασιν αὐτῶν, τοῦ Διὸς πατὴρ μὲν ὁ Κρόνος, παῖς δὲ ἡ Δίκη. Ὁ μὲν γὰρ νομοθέτης ἀνάλογον τῷ δημιουργῷ Διΐ ἐστι, τῷ νόμους τοὺς εἱμαρμένους ταῖς ψυχαῖς προστιθέντι*[122]) *καὶ τὰ ὀνόματα ταῖς ὅλαις περιφοραῖς ἐπιφημίζοντι· ὁ δὲ διαλεκτικὸς ἀνάλογός ἐστι τῇ Κρονίᾳ μονάδι. Καὶ**) *γὰρ ὁ μέγιστος Κρόνος ἄνωθεν τὰς τῶν νοήσεων*

---

120) A, *κρεῖσσόν ἐστι.* B, *κεῖσσόν ἐστι.*

121) V sine *καί.*

122) V, *προτιθέντι.*

*) Inde ad *αὐτῷ ἐνδίδωσιν* descripsit, pauculis omissis, Werfer. in Actis Monac. t. 2. p. 122. et varietates lectionis notavit.

ἀρχὰς ἐνδίδωσι τῷ δημιουργῷ καὶ ἐπιστατεῖ τῆς ὅλης δημιουργίας. Διὸ καὶ δαίμονα αὐτὸν ὁ Ζεὺς καλεῖ παρ' Ὀρφεῖ[123]·

Ὄρθου δ' ἡμετέρην γενεὴν, ἀριδείκετε δαίμων.

Καὶ ἔοικε τῶν συναγωγῶν καὶ τῶν διαιρέσεων τὰς ἀκροτάτας αἰτίας ἔχειν παρ' ἑαυτῷ ὁ Κρόνος, διὰ μὲν τῶν οὐρανίων τομῶν προάγων εἰς τὰ μέρη τὴν ὁλότητα τὴν νοερὰν, καὶ προόδων γεννητικῶν καὶ πολλαπλασιασμῶν αἴτιος γενόμενος, καὶ ὅλως τῆς Τιτανικῆς γενεᾶς ἡγούμενος, ἀφ' ἧς ἡ διαίρεσις τῶν ὄντων, διὰ δὲ τῶν καταπόσεων συνάγων τὰ ἑαυτοῦ πάλιν γεννήματα καὶ ἐνίζων πρὸς ἑαυτὸν καὶ ἀναλύων εἰς τὴν ἑαυτοῦ μονοειδῆ καὶ ἀμέριστον αἰτίαν· ἐπεὶ καὶ ὁ δημιουργὸς Ζεὺς παρ' αὐτοῦ προσεχῶς ὑποδέχεται τὴν ἀλήθειαν τῶν ὄντων, καὶ νοεῖ τὰ ἐν αὐτῷ πρώτως· μαντεύει μὲν γὰρ αὐτῷ καὶ ἡ Νὺξ, ἀλλ' ὁ πατὴρ προσεχῶς καὶ πάντα τὰ μέτρα τῆς ὅλης δημιουργίας αὐτῷ ἐνδίδωσιν. Ἀλλὰ καὶ αὐτὸς[124]) ὁ Πλάτων τοὺς ἐπὶ Κρόνου εὐδαιμόνως ζῶντας καὶ τοῦ θεοῦ τροφίμους, κατὰ τὴν διαλεκτικήν φησιν ἐνεργεῖν ἀλλήλοις τε καὶ τοῖς θηρίοις (πάντα γὰρ ἐκεῖ νοερὰ) διὰ λόγων συνόντας ἐπὶ φιλοσοφίᾳ[125]), καὶ ὁμιλοῦντας καὶ πυνθανομένους παρὰ πάσης φύσεως, εἴ τινά τις ἰδίαν δύναμιν ἔχουσαν ᾔσθετο, εἰς συναγερμὸν φρονήσεως· τοὺς δὲ τὸν ἴδιον βίον ἀνακυκλοῦντας τῆς νομοθετικῆς δεδεῆσθαι καὶ τῶν ἐκ ταύτης μέτρων εἰς διακόσμησιν τῶν πολιτειῶν. Διὸ κἂν τῷ παντὶ διτταὶ ἀνακυκλήσεις, ἡ μὲν ἀναγωγὸς καὶ Κρονία, ἡ δὲ προνοητικὴ καὶ τοῦ Διὸς ἐξηρτημένη. Καὶ γὰρ ὁ βασιλεὺς Κρόνος τοῖς τοῦ Διὸς γεννήμασι χρῆται πᾶσι, κατὰ τὴν ἐξῃρημένην ὑπεροχὴν, καὶ ταῖς μερισταῖς ψυχαῖς, δι' αὐτῶν ὡς εἰκόνων, προτείνει τὴν ἀναγωγὸν πορείαν.

ξβ'. Ὅτι ὁ μὲν νοῦς ὁ οὐσιώδης ὅλην ἔχει ἐν ἑαυ-

---

123) Orph. fragm. X. p. 471. Herm.
124) V sine αὐτός. — Idem mox εὐδαίμονας.
125) V, ἀποφιλοσοφίᾳ. B, ἐπὶ φιλοσοφίας.

τῷ τὴν τῶν ὄντων ἀληθῆ γνῶσιν ἅμα ἐνεργείᾳ, ὁ δὲ τοῦ φιλοσόφου νοῦς, οὐκ ὢν οὐσιώδης, ἀλλ' ἔλλαμψις νοῦ, καὶ ὡς εἰπεῖν, εἴδωλον νοῦ, μεριστῶς νοεῖ καί ποτε τῆς ἀληθείας ἐφάπτεται.

ξγ'. Ὅτι πέντε εἰσὶν ἕξεις τῶν ἀνθρώπων τοῦ γινώσκειν ἢ μὴ, διπλῆ ἄγνοια, ἁπλῆ ἄγνοια, ἔφεσις, ζήτησις, εὕρεσις.

ξδ'. Ὅτι ὁ ἐπιστήμων τὰς μεθόδους τῆς εὑρέσεως ὑφηγεῖται[126]) τῷ μανθάνοντι, μιμούμενος τὸν ἡγεμονικὸν Ἑρμῆν.

ξέ. Ὅτι ἀναλογεῖ Σωκράτης μὲν τῷ νῷ, Ἑρμογένης δὲ τῇ ἀλόγῳ δόξῃ ἐφιεμένῃ τοῦ ἀγαθοῦ, ὁ δὲ Καλλίας τῇ σωματοειδεῖ φαντασίᾳ καὶ ἐνύλῳ*). Διὸ καὶ ὑπὸ τῶν σοφιστῶν ὡς ἀνδράποδον φενακίζεται. Ἡ δὲ δόξα καὶ ἡ φαντασία σχεδὸν ἀδελφαί εἰσιν ὡς ἀγχίθυροι.

ξς'. Ὅτι τῶν ὀνομάτων μιμημάτων ὄντων τῶν πραγμάτων τῆς οὐσίας καὶ εἰδώλων καὶ συστοίχων τοῖς μιμηταῖς, εἰκότως ὁ Σωκράτης ἀμφοτέρων μὲν εἰς τὴν περὶ τῶν ὀνομάτων σκέψιν ποιεῖται μνήμην, ἀλλὰ τῶν μὲν δόκησιν ἐλέγχων, καὶ τὸ κενὸν τῆς φαντασίας, τῶν δὲ τὸν ἐνθεασμὸν ἐκφαίνων, καὶ τὴν περὶ τῶν ζητουμένων ἔνδειξιν, ἣν προτείνουσι τοῖς συνορᾶν δυναμένοις ἐνθουσιάζοντες.

ξζ'. Ὅτι οὐδὲν τοῖς ἑαυτοῦ κρείττοσιν ἑπόμενον ἀποσφάλλεται τῆς οἰκείας τελειότητος.

ξή. Διὰ τί ὁ Πλάτων τοὺς περὶ Ὅμηρον ποιητὰς ὡς μιμητὰς ἐκβάλλων τῆς ἑαυτοῦ πολιτείας, νῦν ὡς ἐνθέους αὐτοὺς εἰσάγει καθηγεμόνας τῶν ὀνομάτων τῆς ὀρθότητος**); Ἢ ἐκεῖ μὲν ἀνοικεῖον ἦν τὸ ποικίλον τῆς μιμήσεως ἤθεσιν ἁπλοῖς καὶ ἀδιαστρόφοις, ἐνταῦθα δὲ καὶ πανταχοῦ τὸ ἔνθουν αὐτῶν ἀγαπᾷ καὶ ἀσπάζεται.

ξθ'. Ἀλλ' ἐπεὶ περὶ θείων ὀνομάτων ὁ παρὼν

---

126) AB, ἐφηγεῖται.
*) Cf. Cratyl. §. 18.
**) Cratyl. §. 19.

*λόγος, δεῖ δὴ περὶ αὐτῶν ἐπὶ σμικρὸν διελθεῖν. Καὶ πρῶτον περὶ τῶν ἐν τοῖς θεοῖς αὐτοῖς κρυφίως ἱδρυμένων ὀνομάτων εἴπωμεν· ἐπεὶ καὶ τῶν παλαιῶν οἱ μὲν ἀπὸ τῶν κρειττόνων ἄρχεσθαι γενῶν ταῦτα λέγουσιν, θεοὺς δ' ἐπέκεινα τῆς τοιαύτης ἱδρῦσθαι σημασίας, οἱ δ' ἐν αὐτοῖς τοῖς θεοῖς συγχωροῦσιν εἶναι τὰ ὀνόματα, καὶ τούτων τοῖς ὑπερτάτην[127]) τάξιν λαχοῦσιν. Τῶν τοίνυν θεῶν καὶ ὕπαρξιν ἐχόντων ἑνοειδῆ καὶ ἄῤῥητον, καὶ δύναμιν γεννητικὴν[128]) τῶν ὅλων καὶ νοῦν τέλειον καὶ πλήρη τῶν νοημάτων, καὶ κατὰ τὴν τριάδα ταύτην τὰ πάντα ὑφιστάντων, ἀνάγκη δή που τῶν ὑψηλοτέρων ἀεὶ καὶ ἐγγυτέρω τἀγαθοῦ τεταγμένων, τὰς μεθέξεις διὰ πάντων τῶν ὑφισταμένων χωρεῖν τριαδικῶς, καὶ τὰς μὲν εἶναι τούτων ἀῤῥητοτέρας, ὅσαι κατὰ τὰς ὑπάρξεις ἀφορίζονται τῶν πρώτων, τὰς δὲ φανερωτέρας καὶ μᾶλλον διῃρημένας, ὅσαι κατὰ τὸν νοῦν ἐλλάμπονται τῶν ἐξῃρημένων αἰτίων, τὰς δὲ μεταξὺ τούτων, οἱαιδήτινες ἐκεῖναι τῶν γονίμων ἀποῤῥέουσαι δυνάμεων. Πάντα γὰρ ὑφιστάνοντες οἱ πατέρες τῶν ὅλων, συνθήματα καὶ ἴχνη πᾶσιν ἐνέσπειραν τῆς ἑαυτῶν τριαδικῆς ὑποστάσεως. Ἐκεῖ καὶ ἡ φύσις τοῖς σώμασιν ἐντίθησιν τῆς οἰκείας ἰδιότητος ἔναυσμα, δι' οὗ καὶ κινεῖ τὰ σώματα[129]) καὶ οἷον ἐκ πρύμνης κυβερνᾷ, καὶ ὁ δημιουργὸς τῆς ἑαυτοῦ μοναδικῆς ὑπεροχῆς ἐνίδρυσεν εἰκόνα ἐν τῷ παντὶ, δι' ἧς ποδηγεῖ τὸν κόσμον, οἷον κυβερνήτης, φησὶν ὁ Πλάτων, πηδαλίων καὶ οἴακος ἐφαπτόμενος. Τὰ τοίνυν πηδάλια ταῦτα καὶ ὁ οἴαξ τοῦ παντὸς, οἷς ἐποχούμενος ὁ δημιουργὸς διακοσμεῖ τὸ πᾶν, οὐκ ἄλλο τι χρὴ νομίζειν ἢ σύμβολα τῆς ὅλης δημιουργίας, ἡμῖν μὲν δύσληπτα, τοῖς δὲ θεοῖς αὐτοῖς γνώριμα καὶ καταφανῆ. Καὶ τί δεῖ περὶ τούτων λέγειν; ἀλλὰ καὶ αὐ-*

---

127) V, *ὑπὲρ ταύτην.*
128) V, *γενικήν.*
129) A, *κινεῖται σώματα.*

τῆς τῆς ἀῤῥήτου καὶ ἐπέκεινα τῶν νοητῶν αἰτίας ἐστὶν ἑκάστῳ τῶν ὄντων σύνθημα καὶ μέχρι τῶν ἐσχάτων, δι' οὗ πάντα εἰς ἐκείνην ἀνήρτηνται, τὰ μὲν πορῤώτερον, τὰ δ' ἐγγύτερον, κατὰ τὴν τρανότητα καὶ τὴν ἀμυδρότητα τοῦ ἐν αὐτοῖς συνθήματος, καὶ τοῦτό ἐστι τὸ πάντα κινοῦν εἰς τὸν τοῦ ἀγαθοῦ πόθον, καὶ ἄσβεστον τὸν ἔρωτα τοῦτον παρεχόμενον τοῖς οὖσιν, ἄγνωστον μὲν ὑπάρχον (διήκει γὰρ καὶ μέχρι τῶν γινώσκειν μὴ δυναμένων), κρεῖττον δ' ὂν ζωῆς (πάρεστι γὰρ καὶ τοῖς ἀψύχοις), νοερὰν δὲ τὴν δύναμιν οὐκ ἔχον (ἔγκειται γὰρ τοῖς ἀμοίροις τοῦ νοεῖν). Ὥσπερ οὖν ἡ φύσις, καὶ ἡ μονὰς ἡ δημιουργικὴ, καὶ αὐτὸς πάντων ἐξῃρημένος πατὴρ ἐνέσπειραν τοῖς δευτέροις τῆς οἰκείας ἰδιότητος συνθήματα, καὶ δι' ἐκείνων ἐπιστρέφουσι πάντα πρὸς ἑαυτούς, οὕτως δὲ καὶ πάντες οἱ θεοὶ τοῖς ἀφ' ἑαυτῶν παραγομένοις ἐνδιδόασι[130]) τῆς σφετέρας αἰτίας σύμβολα, καὶ διὰ τούτων ἑδράζουσι πάντα ἐν ἑαυτοῖς. Τὰ μὲν οὖν τῆς ὑπάρξεως τῶν ὑπερτέρων ἐνσπειρόμενα τοῖς δευτέροις συνθήματα, ἄῤῥητά ἐστι καὶ ἄγνωστα, καὶ τὸ δραστήριον αὐτῶν καὶ κινητικὸν ὑπεραίρει πᾶσαν νόησιν.

ο'. Τοιοῦτοι δ' ἄρα εἰσὶν οἱ τοῦ φωτὸς χαρακτῆρες, δι' ὧν οἱ θεοὶ τοῖς ἑαυτῶν ἐκφαίνονται γεννήμασιν, ἑνιαίως μὲν ὄντες ἐν αὐτοῖς τοῖς θεοῖς, προφαίνοντες δ' αὐτοὺς ἐν τοῖς κρείττοσιν ἡμῶν γένεσιν, μεριστῶς δὲ καὶ μορφωτικῶς εἰς ἡμᾶς καταντῶντες. Διὸ καὶ παρακελεύονται οἱ θεοὶ νοεῖν μορφὴν φωτὸς προταθεῖσαν*)· ἄνω γὰρ ἀμόρφωτος οὖσα, διὰ τὴν πρόοδον ἐγένετο μεμορφωμένη, καὶ ἐκεῖ κρυφίως καὶ ἑνοειδῶς ἱδρυμένη, διὰ κινήσεως ἡμῖν παρ' αὐτῶν ἐκφαίνεται τῶν θεῶν, τὸ μὲν δραστήριον ἔχουσα διὰ τὴν θείαν αἰτίαν, τὸ δ' ἐσχηματισμένον διὰ τὴν ὑπο-

---

130) A, παραγενομένοις. — V, ἐκδιδόασι.
*) Verba νοεῖν — προταθ. pro Oraculo habuit Taylorus, et inde sumsit quae insereret Oraculis a se collectis Class. Ephem. t. 17. p. 256.

δεχομένην οὐσίαν. Τὰ δ᾽ αὖ ἀπὸ τῶν δυνάμεων ἐλλαμπόμενα, μέσα πῶς ἐστι τῶν ἀῤῥήτων καὶ τῶν ῥητῶν, διήκοντα μὲν καὶ αὐτὰ διὰ πάντων τῶν μεταξὺ γενῶν (οὐ γὰρ ἦν δυνατὸν εἰς ἡμᾶς καταντῆσαι τὰς πρωτουργοὺς τῶν θεῶν δόσεις, μὴ πολλῷ πρότερον τῶν κρειττόνων ἡμῶν γενῶν μετασχόντων τῆς ἐκεῖθεν ἐλλάμψεως), οἰκείως δ᾽ ὄντα παρ᾽ ἑκάστοις καὶ πᾶσι συστοίχως, ἐκφαίνονται τὰς τῶν ὑποστησάντων δυνάμεις. Τοιαῦτα δ᾽ ἐστὶ τὰ καλούμενα σύμβολα τῶν θεῶν· μονοειδῆ μὲν ἐν τοῖς ὑψηλοτέροις ὄντα διακόσμοις, πολυειδῆ δ᾽ ἐν τοῖς καταδεεστέροις, ἃ καὶ ἡ θεουργία μιμουμένη δι᾽ ἐκφωνήσεων μὲν, ἀδιαρθρώτων δὲ, αὐτὰ προφέρει. Τὰ δὲ δὴ τρίτα[131]) καὶ ἀπὸ τῶν νοερῶν ὑποστάσεων ἐπὶ πάντα καθήκοντα ἰδιώματα καὶ μέχρις ἡμῶν προϊόντα, τὰ ὀνόματά ἐστι τὰ θεῖα, δι᾽ ὧν οἱ θεοὶ καλοῦνται καὶ οἷς ἀνυμνοῦνται, παρ᾽ αὐτῶν τῶν θεῶν ἐκφανέντα καὶ εἰς αὐτοὺς ἐπιστρέφοντα, καὶ ὅσον ἐστὶν αὐτῶν φανὸν[132]), εἰς γνῶσιν ἀνθρωπίνην προάγοντα. Διὰ γὰρ τούτων καὶ ἀλλήλοις σημαίνειν τι δυνάμεθα περὶ ἐκείνων, καὶ αὐτοὶ πρὸς ἑαυτοὺς διαλέγεσθαι. Μετέχουσι δ᾽ ἄλλως ἄλλοι καὶ τούτων, οἷον Αἰγύπτιοι κατὰ τὴν ἐπιχώριον φωνὴν τοιαῦτα παρὰ τῶν θεῶν ἔλαβον ὀνόματα, Χαλδαῖοι δὲ καὶ Ἰνδοὶ ἄλλως κατὰ τὴν οἰκείαν γλῶσσαν, καὶ Ἕλληνες ὡσαύτως κατὰ τὴν σφετέραν διάλεκτον. Κἂν ὅδε οὖν ὁ θεὸς παρ᾽ Ἕλλησι μὲν καλεῖται παρὰ τῶν θεῶν Βριάρεως[133]), παρὰ δὲ Χαλδαίοις ἄλλως, ἑκάτερον τῶν ὀνομάτων ἔγγονον εἶναι τῶν θεῶν ὑποληπτέον, καὶ σημαίνει τὴν οὐσίαν ἐκείνην. Εἰ δὲ τὰ μέν ἐστι μᾶλλον δραστήρια, τὰ δ᾽ ἧττον, οὐ θαυμαστὸν, ἐπεὶ καὶ τῶν ἡμῖν γνωρίμων γεγονότων τὰ δαιμόνια καὶ τὰ ἀγγελικὰ δραστικώτερα, καὶ ὅλως τὰ ἐγγυτέρω

131) V, προφέρεται. Τὰ δὲ τριτά. B, προφιτὰ δὲ δὴ τρ.
132) V, αὐτῶν φανῶν. AB, αὐτώφανον.
133) Respicitur ad Il. α. 403. Pro ὅδε forte ὧδε.

τῶν ὀνομαζομένων τελειότερα τῶν προῤῥώτερον τεταγμένων. Ἀλλ᾽ ὅπως μὲν τὰ ὀνόματα διὰ πάντων φοιτᾷ καὶ τίνα ἔλαχεν οὐσίαν, εἴπωμεν[134]). Ἔστι δ᾽ οὐ πᾶν τὸ τῶν θεῶν γένος ὀνομαστόν. Ὁ μὲν γὰρ ἐπέκεινα τῶν ὅλων ὅτι ἄῤῥητος, καὶ ὁ Παρμενίδης ἡμᾶς ὑπέμνησεν· οὔτε γὰρ ὀνόματα αὐτοῦ, φυσὶν, οὔτε λόγος ἐστὶν οὐδείς. Καὶ τῶν νοητῶν δὲ θεῶν τὰ πρώτιστα γένη, καὶ αὐτῷ συνηνωμένα τῷ ἑνὶ, καὶ κρύφια καλούμενα, πολὺ τὸ ἄγνωστον ἔχει καὶ ἄῤῥητον· οὐδὲ γὰρ συνάπτει τῷ παντελῶς ἀῤῥήτῳ τὸ πάντη[135]) φανὸν καὶ ῥητὸν, ἀλλ᾽ ἔδει τὴν τῶν νοητῶν πρόοδον εἰς ταύτην ἀποπερατοῦσθαι τὴν τάξιν. Ἐκεῖ τοίνυν τὸ πρῶτον ῥητὸν καὶ ὀνόμασιν ἰδίοις καλούμενον· ἐκεῖ γὰρ καὶ τὰ εἴδη[136]) τὰ πρῶτα καὶ ἡ νοερὰ τῶν νοητῶν φύσις ἐξέλαμψεν. Τὰ δὲ πρὸ αὐτῆς σιγώμενα πάντα καὶ κρύφια, νοήσει μόνον γνωστὰ ἦν· καὶ διὰ τοῦτο καὶ ἡ τελεστικὴ πᾶσα μέχρι ταύτης ἄνεισι τῆς τάξεως ἐνεργοῦσα θεουργικῶς, ἐπεὶ[137]) καὶ Ὀρφεὺς πρώτην ταύτην ὀνόματί φησιν ὑπὸ τῶν ἄλλων καλεῖσθαι θεῶν· τὸ γὰρ ἀπ᾽ αὐτῆς προϊὸν φῶς γνωστὴν αὐτὴν τοῖς νοεροῖς καὶ ὀνομαστὴν ἀπέφηνεν. Λέγει δ᾽ οὕτως[138])·

Μῆτιν σπέρμα φέροντα θεῶν κλυτὸν, ὅντε Φάνητα
Πρωτόγονον Μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον.

Ἀλλ᾽ ἐπὶ μὲν τῶν θεῶν ἥνωται τό τε ὀνομάζειν τοῦτο καὶ τὸ νοεῖν, καὶ ἀμφότερα διὰ τὴν τοῦ φωτὸς αὐτοῖς ὑπάρχει μετουσίαν, ὃ προΐεται πᾶσιν ὁ μέγιστος Φάνης, ἐπὶ δὲ τῶν ἡμετέρων ψυχῶν διῄρηται, καὶ ἄλλο μὲν ἡ νόησις, ἄλλο δὲ τὸ νόημα, καὶ τὸ μὲν

---

134) Codd. εἴπομεν.

135) A, παντί.

136) AB, κατὰ τὰ εἴδη.

137) AB sine ἐπεί. Hinc usque ad Ὄλυμπον descrisit Werfer in Actis Monac. t. 2. p. 123. et illustrat philologice.

138) Cf. Orph. Fragm. VIII. p. 467. et infra c. 97.

εἰκόνος, τὸ δὲ παραδείγματος ἔχει τάξιν· ἐν δὲ τοῖς μέσοις γένεσίν ἐστι μέν τις καὶ διάκρισις, ἔστι δ' αὖ καὶ ἕνωσις τῆς τε νοητικῆς καὶ τῆς ὀνομαστικῆς ἐνεργείας. Τοιοῦτον δή τι νοεῖν ἔμοιγε δοκεῖ καὶ τὸ διαπόρθμιον ὄνομα τῶν ἐγγύων[139]), ὃ πάσας ἀνέχειν λέγεται τὰς πηγὰς, τοιοῦτον καὶ τὸ τελεταρχικὸν, ὅ φησί τις θεῶν

*Κόσμοις ἐνθρώσκειν κραιπνὴν διὰ πατρὸς*[140]) *ἐνιπήν*· πάντα γὰρ ταῦτα κρυφίως μέν ἐστιν παρὰ τοῖς θεοῖς, κατὰ δευτέρας δὲ καὶ τρίτας προόδους ἐκφαίνεται καὶ τῶν ἀνθρώπων τοῖς συγγενέσι πρὸς τοὺς θεούς. Ἔστι*) δ' οὖν καὶ μένοντά τινα ὀνόματα ἐν τοῖς θεοῖς, δι' ὧν οἱ καταδεέστεροι τοὺς προτέρους καλοῦσιν, ὥσπερ ἐπὶ τοῦ Φάνητός φησιν Ὀρφεὺς, ἢ οἱ κρείττους ὀνομάζουσι τοὺς ὑφειμένους[141], ὥσπερ ὁ Ζεὺς ὀνόματα ἔθετο ταῖς τῶν ψυχῶν ἀφανέσι περιόδοις παρὰ τῷ Πλάτωνι· καὶ γὰρ οἱ πατέρες τοῖς ἑαυτῶν ἐκγόνοις ἀφορίζουσι τὰς ἐνεργείας, καὶ οἱ προελθόντες δι' ὧν ἐκομίσαντο συνθημάτων νοερῶν γνωρίζουσι τοὺς ἑαυτῶν αἰτίους. Τὰ μὲν οὖν πρώτιστα ὀνόματα τοιαῦτα παρὰ θεῶν ἐκφανέντα καὶ διὰ τῶν μέσων γενῶν εἰς τὴν λογικὴν οὐσίαν ἡμῶν[142]) καταντήσαντα, δεύτερα δ' ἄλλα καὶ τρίτα νοήσωμεν, ὅσα αἱ μερισταὶ ψυχαὶ τότε μὲν ἐνθουσιάζουσαι[143]) περὶ τοὺς θεοὺς, τότε δὲ κατ' ἐπιστήμην ἐνεργοῦσαι παρήγαγον, ἢ κοινωνησάμεναι[144]) τὴν ἑαυτῶν νόησιν τῷ θείῳ φωτὶ κἀκεῖθεν τελειωθεῖσαι, ἢ τῇ λογικῇ δυνάμει τὴν δημιουργίαν ἐπιτρέψασαι τῶν ὀνομάτων. Οὕτω γὰρ καὶ οἱ τεχνῖται τοῖς ὑπὸ τὴν τέχνην πράγμασιν, ὧν τὰς ἰδιότη-

---

139) VB, ἰγγύνων: forte ἰύγγων.

140) A, παντός. Cf. cap. 52.

*) Ab Ἔστι usque ad ὑφειμένους Werfer exhibet ibid.

141) A, ὑφιεμένους. B, ὑφημένους.

142) V sine ἡμῶν.

143) V, ἐνθουσιάζονται.

144) AB, κοινωσάμεναι — καθ' ἓν τελειωθ.

τας κατενόησαν, ὀνόματα ἔθεντο γεωμέτραι καὶ ἰατροὶ καὶ ῥήτορες, οὕτω δὲ καὶ τῶν ποιητῶν οἱ φοιβόληπτοι πολλὰ τῶν ὀνομάτων εἰς θεοὺς ἀνήγαγον, καὶ τὰ ἀνθρώπινα τούτοις ἀντιδιεῖλον, τὰ μὲν ἐξ ἐνθουσιασμοῦ λαμβάνοντες, τὰ δ' ἐκ τῆς αἰσθήσεως καὶ δόξης· περὶ ὧν καὶ ὁ Σωκράτης νῦν[145]) φησὶ τὸν Ὅμηρον ἐνδείκνυσθαι, τὰ μὲν εἰς θεοὺς ἀναφέροντα, τὰ δὲ εἰς ἀνθρώπους, ὅτι τὰ μὲν θεόκλητα ὀνόματα καὶ λεῖά εἰσι καὶ εὔηχα, ὡς ὀλιγοσυλλαβότερα ἤπερ τὰ παρ' ἀνθρώποις, οἷον ὁ Ξάνθος τοῦ Σκαμάνδρου, καὶ ἡ Χαλκὶς τῆς Κυμίνδιος, καὶ ἡ Μυρίνη τῆς Βατιείας. Καὶ ἔοικε τὸ μὲν πρῶτον δηλοῦν, ὅπως οἱ θεοὶ πᾶσαν τὴν ῥευστὴν οὐσίαν κατ' αἰτίαν ὡρισμένην καὶ προειλήφασι καὶ ὀνομάζουσι, τὸ δὲ δεύτερον, ὅπως τὴν ἐν τῇ γενέσει φερομένην ζωὴν οἱ θεοὶ τοῖς νοεροῖς μέτροις ἀφορίζουσιν, τὸ δὲ τρίτον, ὅπως καὶ τὴν χωριστὴν ἀπὸ τῆς γενέσεως ζωὴν χωριστῶς οἱ θεοὶ καὶ γινώσκουσι[146]) καὶ ἐπιτρέπουσι. Καὶ τὸ μὲν Ξάνθος, ὡς ἱστορεῖ*) Ἀριστοτέλης, ὅτι τὰ ἐξ αὐτοῦ πίνοντα θρέμματα ξανθοτέραν ἴσχουσι τὴν χρόαν, διὰ τοῦτο ἴσως οἱ πάντων τὰς αἰτίας καὶ γεννῶντες καὶ εἰδότες θεοὶ οὕτω καλοῦσιν· τὸ δὲ φαινόμενον ἴσως, ὅτι διά τινος χειροποιήτου σκάφης διέρχεται τὸ ὕδωρ αὐτοῦ, οὕτως ὑπὸ τῶν ἐπιπολαίως νοούντων ἀνθρώπων ἐκλήθη Σκάμανδρος. Ἡ δὲ Χαλκὶς διὰ τὸ λιγυρὸν καὶ εὔηχον δίκην χαλκοῦ ἠχοῦντος τορὸν οὕτως ἐκλήθη· ἀμέλει καὶ Χαλδαῖοι οὕτως αὐτὸ καλοῦσι, παρὰ θεῶν ἀκούσαντες· ἡ δὲ Κύμινδις παρὰ τὴν σμικρότητα τοῦ ὀρνέου. Ἡ δὲ Μυρίνη ἀπὸ τῆς ψυχῆς τῆς τὸν τόπον ἐκεῖνον λαχούσης ἐκ τῶν θεῶν· Βατίεια ἴσως διὰ τὸ φυτὸν τὸ ἐν αὐτῇ πλεονάζον οὕτω καλεῖται. Καὶ ἔχομεν ἐν τούτοις τὰς διαφορὰς τῶν θείων καὶ ἀνθρωπίνων γνώσεων τριττὰς, δραστηρίους μὲν καὶ παθητικὰς διὰ

---

145) Cratyl. §. 19. 20.
146) V, *οἱ θεοὶ καὶ χωρίζουσι.*
*) Aristot. H. Anim. III. 12.

τὸν Ξάνθον καὶ Σκάμανδρον, λογικὰς δὲ καὶ φυσικὰς διὰ τὴν Μυρίνην καὶ τὴν Βατίειαν, ἐναρμονίους δὲ καὶ ἀναρμόστους διὰ τὴν Χαλκίδα καὶ τὴν Κύμινδιν. οὐχ ἁπλῶς δὲ ἀνδρῶν πάντων πρὸς θεῶν συγκρίνει ὀνοματοθεσίαν, ἀλλὰ τῶν ἠῤῥενωμένων καὶ σοφῶν [147]) καὶ τοῖς πατρικοῖς αἰτίοις ἀναλογούντων.

οά. Εἰ ἡ τῶν θεῶν φύσις ἀσχημάτιστος καὶ ἀχρώματος [148]) καὶ ἀφανὴς, τὸ διαλεκτικὸν ἔργον ἐν αὐτοῖς οὐκ ἔστιν, ἀλλὰ περὶ τὰ κάτω καὶ τὴν γένεσιν στρέφεται τὸ τοιοῦτον.

οβ΄. Ὅτι τῶν θεῶν οἱ μὲν ἀσώματοί εἰσιν, οἱ δὲ σώμασι χρώμενοι, καὶ τούτοις σφαιρικοῖς. Τὸ γὰρ σφαιρικὸν σχῆμα τῶν εἰς ἑαυτοὺς ἐπεστραμμένων ἐστὶν ἐξαίρετον. Τῶν δὲ δαιμόνων οἱ μὲν ἀγαθοὶ καὶ θεῖοι σφαιρικὰ ἔχουσι τὰ ὀχήματα, οἱ δ᾽ ὑλαῖοι καὶ εὐθύπορα [149]). Τῶν δ᾽ εὐχῶν ἡμῶν ἀκούουσι καὶ οἱ θεοὶ καὶ οἱ δαίμονες οὐκ ἔξωθεν, ἀλλὰ προειληφότες τὴν προαίρεσιν ἡμῶν καὶ εἰδότες τὰς ἐνεργείας.

ογ΄. Ὅτι εἰσὶν καὶ Πᾶνες τραγοσκελεῖς, οἷος ἦν ὁ φανεὶς τῷ ἡμεροδρόμῳ Φιλιππίδῃ [150]), τὸ Παρθένιον διαμείβοντι ὄρος, καὶ Ἀθηναῖ [151]), καὶ ψυχαὶ σχήμασι ποικίλοις χρώμεναι καὶ προσεχῶς ὑπὲρ τοὺς ἀνθρώπους πολιτευόμεναι, οἷα ἦν ἡ Ἀθηνᾶ ἡ τῷ Ὀδυσσεῖ καὶ τῷ Τηλεμάχῳ φανεῖσα. Οἱ δὲ Πανικοὶ δαίμονες καὶ οἱ Ἀθηναϊκοὶ [152]), καὶ πολλαπλέον αὐτοὶ οἱ θεοὶ ἁπάσης τῆς τοιαύτης ποικιλίας ἐξήρηνται.

οδ΄. Ὅτι οὐ διὰ τὸ μορφὰς ἔχειν τοὺς δαίμονας τοίας ἢ τοίας, διὰ τοῦτο καὶ οἱ ἐπιτροπευόμενοι ὑπ᾽

---

147) B sine καὶ σοφῶν. Locus non videtur sanus. Forte, οὐχ ἁ. δὲ ἀ. π. τὴν παρὰ θεῶν συγκρίνειν ὀνομ.

148) V, ἀχρωμάτωτος.

149) AB, εὐθύποροι. Forsan deest aliquid.

150) cf. Pausan. I. 28. §. 4. Modo scripsi οἷος pro οἷς.

151) B, εἰθῆναι. AV, ἀθῆναι. Mox scripsi οἷα pro οἶα Codd.

152) V, καὶ Ἀθηναῖοι.

αὐτῶν ἄνθρωποι κοινῶς τε καὶ ἰδίως διαφόρους ἔλαχον ἰδέας, οἷον οἱ Σκῦθαι πρὸς Αἰθιόπας καὶ ἕκαστος πρὸς ἕκαστον· ἀλλὰ πᾶσαν τὴν ποικιλίαν τῶν ἠθῶν ἐν ἁπλότητι, καὶ τὴν ἐξαλλαγὴν τῶν σχημάτων ἐν ταυτότητι, καὶ τὴν διαφορὰν τῶν κινήσεων ἐν μονίμῳ δυνάμει περιέχουσιν οἱ εἰληχότες δαίμονες τοὺς ἀνθρώπους. Ἡ[153]) καὶ θεῶν ἐστὶν ὀνόματα παραδιδόμενα παρὰ τοῖς θεολόγοις, οἷς οἱ θεοὶ τὰ πράγματα καλοῦσιν, ἀλλ' οὐχὶ δαιμόνων μόνον· τὰ γὰρ δρώμενα ἐν τοῖς μυστηρίοις εἰς αὐτούς ἐστιν τοὺς θεοὺς, ἀλλ' οὐκ εἰς τοὺς ἐξηρτημένους αὐτῶν δαίμονας.

οε΄. Ὅτι οἱ θεοὶ σημαίνουσι τὰ πράγματα τοῖς ἀνθρώποις οὐκ ὀργάνων δεόμενοι σωματικῶν, ἀλλὰ τὸν ἀέρα σχηματίζοντες[154]) κατὰ τὴν ἑαυτῶν βούλησιν· κηροῦ γὰρ εὐπλαστότερος ὢν, τύπους παραδέχεται τῶν θείων νοήσεων, προϊόντας μὲν ἀπὸ τῶν θεῶν ἄνευ κινήσεως, καταντῶντας δ' εἰς ἡμᾶς διὰ ἠχῆς καὶ φθόγγου καὶ μεταβολῆς· οὕτω γὰρ καὶ τὰς φήμας ἐνδίδοσθαι παρὰ θεῶν φαμὲν οὐ φθεγγομένων ἐκείνων, ἀλλὰ τοῖς μὲν ὡς ὀργάνοις[155]) χρωμένων, πληρούντων δ' ἀπλήκτως καὶ ἀναφῶς τὴν ἀκοὴν τῆς οἰκείας γνώσεως· καὶ γὰρ ἀλλήλοις αὐτοὺς συνεῖναι διὰ νοήσεων, καὶ γινώσκειν τὰ ἀλλήλων νοητικῶς, ἀλλ' οὐκ αἰσθητικῶς.

ος΄. Ὅτι καθὼς[156]) λέγει Ὅμηρος, οὕτως ἐστίν[157])·

Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις·

καὶ ἔχουσιν οἱ ἐμφανεῖς θεοὶ καὶ τὴν ὁρατικὴν αἴσθησιν καὶ τὴν ἀκουστικὴν, ἀλλ' οὐκ ἔξωθεν. Αὐτοὶ γὰρ ἐν ἑαυτοῖς ἔχουσι πρὸ τῶν ὅλων τὰς ῥίζας καὶ τὰς αἰτίας πάντων. Καὶ γὰρ τὸ ἐν τῇ σελήνῃ πρόσωπον εἰκόνας φέρον τοῦ ἡλίου ὦτα καὶ ὀφθαλ-

---

153) f. *Ὅτι.* Cum *O* rubro pingendum colore fuisset omissum, ut saepe fit, *τι* quod supererat, facile in *η* abiit.

154) AB, *σχηματίζουσι.*

155) V, *μὲν ὀγράνοις.*

156) B, *καλῶς.*

157) Il. *γ*, 277.

μοὺς προφαίνει, οὐκ ἔτι δὲ ῥῖνα καὶ στόμα· οὐδὲ γάρ ἐστιν ἐν αὐτοῖς τὸ ὀσφρητικὸν ἢ γευστικόν.

οζ΄. Ὅτι αἱ γνώσεις οὐκ ἀμέσως ἄνωθεν κατιᾶσιν[158]), ἀλλὰ διὰ μέσων τινῶν· ὡς γὰρ παρ' Ὁμήρῳ τῆς τοῦ Διὸς καὶ τοῦ ἡλίου συνουσίας ἡ γνῶσις μέχρις Ὀδυσσέως κατῆλθεν διὰ μέσου τοῦ τε ἀρχαγγελικοῦ Ἑρμοῦ καὶ τῆς Καλυψοῦς, οὕτως οὖν καὶ ὁ Ἕλενος ᾔσθετο τὴν βουλὴν Ἀπόλλωνος καὶ Ἀθηνᾶς, οὐ τῶν ἀκροτάτων, ἀλλὰ τῶν προσεχῶν αὐτῷ καὶ δαιμονίων.

οη΄. Ὅτι ὁ Ἀστυάναξ[159]) καὶ τὸ Ἕκτωρ ὁ μὲν φιλόσοφος εἰς τὸ εἶδος καὶ τὸ σημαινόμενον βλέπων παραπλήσια αὐτὰ καλεῖ, οἱ δὲ γραμματικοὶ εἰς τὴν ὕλην καὶ τὰς συλλαβὰς καταφερόμενοι ἀνομοιότατα αὐτὰ ἂν φαῖεν.

οθ΄. Ὅτι δεῖ τὸν ὀνοματοθέτην εἰς τὰ εἴδη τῶν ὀνομαζομένων βλέποντα τοῦτο ποιεῖν[160])· τοῦτο δὲ καὶ εἰς τὸ πᾶν ὁρῶντι δῆλον γίνεται. Πολλῶν γὰρ γινομένων ψυχικῶν καθόδων εἰς τὸν περὶ γῆν τόπον καθ' ἑκάστην περίοδον, καὶ ἄλλων κατ' ἄλλας λήξεις διασπειρομένων καὶ βίους διαφέροντας προχειριζομένων, καὶ τῶν μὲν τοὺς προσήκοντας ἑαυτῶν ἀγελάρχαις καὶ νομεῦσιν ἐκλεγομένων, τῶν δ' εἰς ἀλλότριον εἶδος ζωῆς ἐνσπειρομένων[161]), αὗται δὴ μάλιστα δοκοῦσι[162]) τοῖς ὀνόμασιν ἀποσεμνύνεσθαι τῶν σφετέρων ἡγεμόνων, ὅσαι τοὺς συγγενεῖς ἐκείνοις καὶ ἀνειμένους προεστήσαντο βίους· λέγω δ' οἷον αἱ μὲν ἀπὸ τῆς Ἀθηναϊκῆς προϊοῦσαι σειρᾶς, καὶ τὴν ἰδέαν ἀνεξάλλακτον φυλάττουσαι τῆς οἰκείας τῇ τάξει ταύτῃ ζωῆς, ὁμοῦ τῇ ἐνεργείᾳ καὶ ὄνομα τῇ θεῷ προσῆκον ἑαυταῖς ἐπιφημίζουσιν, αἱ δὲ κατελθοῦσαι μὲν ἀπὸ τῆς τάξεως ταύτης, βίον

158) A, κατιῶσιν. V, καπᾶσιν.
159) Cf. Cratyl. §. 20 — 22.
160) V sine τοῦτο ποιεῖν.
161) V, ἐσπειρομένων.
162) AB, ἀρχοῦσι.

δ' ἑλόμεναι μηδὲν αὐτῇ προσήκοντα, καὶ ὀνόμασιν ἀλλοτρίοις χρῶνται, καὶ τοῖς τυχοῦσιν. Οὕτω γὰρ ἄν, οἶμαι, καὶ Διόνυσοι, καὶ Ἀσκληπιοὶ, καὶ Ἑρμαῖ, καὶ Ἡρακλέες ὁμώνυμοι τοῖς ἐφόροις αὐτῶν θεοῖς, ἐπ' εὐεργεσίᾳ τῶν τῇδε τόπων προεληλύθασιν σὺν πομπῇ θεῶν, οὔτε τὸ εἶδος τῆς ζωῆς οὔτε τὰς ἐπωνυμίας τῶν οἰκείων ἀρχόντων ἀλλαξάμεναι. Τὸν γοῦν Ἡρακλέα, φασὶν, Ἀλκείδην προσαγορευόμενον ἀπὸ τῶν θνητῶν πατέρων ἡ Πυθία κέκληκεν Ἡρακλέα [163]), διὰ τὴν πρὸς τὴν Ἡράκλειον τάξιν καὶ θεότητα συγγένειαν· θεὸς γὰρ ὀνόματος ἀνθρώπῳ μεταδιδοὺς εἰς τὴν ὅλην αὐτοῦ σειρὰν καὶ τὴν ζωὴν ἣν προβέβληται βλέπων τὴν πρέπουσαν τίθησιν ἐπωνυμίαν.

π΄. Ὅτι τῶν ἐν γενέσει φερομένων εἰδῶν τὰς ἐπωνυμίας δεῖ λαμβάνειν ἢ πρὸς πάντα τὰ αἴτια βλέποντες, τά τε ὅλα καὶ τὰ μεριστὰ, τά τε πόῤῥω καὶ τὰ προσεχῆ τοῖς γινομένοις, οἷον, τόν τε ὅλον ἵππον καὶ τὸν προσεχῆ καὶ φθαρτόν· ἢ πρὸς τὰ κρείττω μόνα καὶ τελειότερα καὶ ἀεὶ κατορθοῦντα καὶ πάντῃ τῆς ὕλης κρατοῦντα, οἷά εἰσι τὰ καθόλου. Ὅταν γὰρ ἐξ ἵππου βοῦς γένηται, ἡ μὲν μερικὴ φύσις κρατεῖται, διὸ καὶ οὐ γίνεται ἵππος, ἡ δ' ὅλη κρατεῖ φύσις, διὸ καὶ βοῦς γίνεται. Πόθεν γὰρ τὸ βοὸς εἶδος, μὴ τῆς ἁπλῶς φύσεως κρατησάσης; Διὸ τὰ τοιαῦτα οὐχ ἁπλῶς τέρατα καλεῖ νῦν ὁ Πλάτων, ἀλλ' οἷον τέρατα, ὡς μὴ πάντῃ ὄντα παρὰ φύσιν [164]).

πά. Ὅτι τῶν φυτῶν μᾶλλον ἐπικρατεῖ ἡ φύσις, ὡς ἐῤῥιζωμένων· διὸ καὶ μικρᾶς τέχνης ῥοπὴ [165]) δύναται μεταβολὰς ποιεῖν, ὡς ὅταν ἐνοφθαλμίζωνται, ἢ ἐγκεντρίζωνται, καὶ γίνηται ἀντὶ δρυὸς

---

163) Cf. Apollod. II. 4. 12.

164) Cf. Cratyl. §. 22. 25.

165) B, *μικρά*. V, *ῥοπῇ*. Mox post *ὅταν* scripsi verba in subjunctivo.

ἐλαία. Ἧττον δὲ τῶν ζώων ἐπικρατεῖ, καὶ ἔτι πολὺ ἧττον τῶν ἀνθρώπων.

πβ΄. Ὅτι οἱ κατ' ἐλπίδα καὶ μνήμην τινῶν ὀνομαζόμενοι ἐκβέβληνται τοῦ ἐτυμολογικοῦ νόμου, καὶ τούτων μᾶλλον οἱ κατὰ μνήμην.

πγ΄. Ὅτι τὸν ἐτυμολογήσειν μέλλοντα δεῖ τὰς τῶν διαλέκτων*) εἰδέναι διαφοράς· τοὺς γὰρ ὀδόντας ἔδοντας καλοῦσιν οἱ Αἰολεῖς[166]· δεύτερον δὲ[167]) τὴν χρῆσιν τῶν ποιητῶν· λέγει γάρ τις αὐτῶν ἀχῆνας[168]) τοὺς πένητας, παρὰ τὴν στέρησιν τοῦ ἔχειν ἰδίως οὕτως καλέσας· τρίτον καὶ τὰ ἁπλᾶ καὶ τὰ σύνθετα τῶν ὀνομάτων διακρίνειν, ἵνα μὴ τὸ μὲν δακρυόφιν[169]) σύνθετον εἴπῃ, τὸν δὲ φολκὸν[170]), ἁπλοῦν. Τέταρτον δεῖ αὐτὸν καὶ[171]) οἰκείως τοῖς πράγμασι ποιεῖν τὰς ἀναπτύξεις τῶν ὀνομάτων, ἵνα μὴ τὸν Μελέαγρον, ὥσπερ Εὐριπίδης[172]) κακῶς ἐτυμολογήσῃ διὰ τὴν μελέαν ἄγραν· οὐ γὰρ εἰκὸς τὸν πατέρα αὐτοῦ ἀπαίσιον ὄνομα θέσθαι τῷ παιδί**)· ἄμεινον οὖν, ᾧ μέλει τὰ τῆς ἄγρας· τοιαῦτα δὲ καὶ τὰ τοῦ Διονυσίου[173]), οἷον, μένανδρος ἡ παρθένος. Πέμπτον καὶ τὴν παρατήρησιν τῆς διαφόρου χρήσεως δεῖ ποιεῖσθαι, οἷον ὅτι νουμηνίαν μὲν Ἀττι-

---

*) Cf. Cratyl. §. 24.

166) V, οἱ ὀλεῖς. — Cf. Gregor. Cor. D. Dor. §. 22. ubi haec verba Procli adscripsi.

167) AB, δεύτ. καί.

168) AB, ἀχύνας. Cf. Hesych. in Ἀχῆνες et Ἀχηνία.

169) Apud Homer. Od. ε. 152.

170) Homer. Il. β. 217.

171) AB, δεῖ καὶ αὐτόν.

172) Cf. fragm. II. Meleagri Euripidis.

**) Cf. Cap. 86.

173) Dionysius Siciliae Tyrannus. Cf. Athen. III. c. 54. Σκέπαρνον et ποτήριον, quae ex grammaticis citat Bastius Epist. p. 267., ad Dionysium auctorem sunt referenda. Cf. Hellad. Phot. p. 1588.

κοί φασι, νεομηνίαν δὲ Κρῆτες[174]). Ἕκτον, δεῖ αὐτὸν εἰδέναι καὶ τὰ πάθη τῶν λέξεων, οἷον ἀποκοπὰς, συγκοπὰς, ἐλλείψεις, πλεονασμοὺς, συναλοιφὰς, ἀφαιρέσεις, συνιζήσεις, καὶ τὰ τοιαῦτα. Ἕβδομον, δεῖ αὐτὸν καὶ τὰς τῶν στοιχείων ἰδιότητας εἰδέναι· ἀπὸ γὰρ τούτων ἐσχάτων ἡ ὀρθότης δείκνυται τῶν ὀνομάτων καὶ ἡ πρὸς τὰ πράγματα συγγένεια. Ὄγδοον, δεῖ δ' αὐτὸν καὶ τὰς ἀμφιβολίας καὶ τὰς ὁμωνυμίας διακρίνειν· καταχώννυται γὰρ διὰ τούτων ἡ τῶν ὀνομάτων ἀλήθεια· μαλερὸν γὰρ λέγεται[175]) καὶ τὸ μαραῖνον καὶ τὸ μαραινόμενον, ἐκμαγεῖον δ' ὁ Πλάτων[176]) καὶ τὸ ἐκμάσσον καλεῖ καὶ τὸ ἐκμασσόμενον τὸν ἄλλον τύπον. Δεῖ δ' αὐτὸν καὶ τοὺς σχηματισμοὺς εἰδέναι οὐκ ἀεὶ πρὸς τὸν αὐτὸν λόγον γινομένους· ἄλλως γὰρ καὶ ὁ καλαμοθήρας λέγεται ὁ καλάμῳ θηρῶν, καὶ ἄλλως ὁ φυγαδοθήρας, ὁ φυγάδας θηρῶν. Ἔτι καὶ τὰ ἑτεροζύγως λεγόμενα δεῖ εἰδέναι, οἷον, ἀπὸ τῆς ἀρετῆς οὐκ ἀρεταῖος, ἀλλὰ σπουδαῖος καὶ τὰ τοιαῦτα. Καὶ τὰ βάρβαρα δ' οὐ δεῖ ἀγνοεῖν, ἵνα μὴ βιαζώμεθα αὐτὰ, οἷον, τὸν ἀκινάκην καὶ τὸν κάνδυν. Τὸν μὲν οὖν ἐτυμολογήσοντα τοιαύτην δεῖ ἔχειν τὴν κριτικὴν φρόνησιν. Αὐτῶν δὲ τῶν ἐτυμολογουμένων τὰ μὲν λέγεται κατὰ μίμησιν, οἷον, σίζειν[177]), τὰ δὲ κατὰ ἀναφορὰν τὴν πρὸς ἕτερον, οἷον θαλλὸς παρὰ τὸ θεῖν ἄνω, καὶ ἄθῳος ὁ ἀζήμιος· τὰ δὲ καταχρηστικῶς, οἷον, κακόφρων, καίτοι τὸ φρονεῖν ἀγαθόν· τὰ δὲ ψευδωνύμως τῆς ὕλης μεταπεσούσης, οἷον, πυξὶς ἡ ἀργυρᾶ· τὰ δὲ κατὰ ἱστορίαν, οἷον, ὀβολὸς καὶ δραχμὴ, οἱ γὰρ παλαιοὶ σιδή-

---

174) Cf. not. ad Greg. Dial. Dor. §. 156. ubi verba Procli de voce *νουμηνία* adtuli.

175) Cf. Hesych. in voce.

176) Theaet. §. 118. ubi Heind. Cf. not. ad Hesych. et quae notavi ad Marin. c. 16.

177) Cf. Hesych. in *Σίζε*.

ροις ὀξέσιν ἐχρῶντο, οὓς ἐκάλουν ὀβολοὺς, ἐν γοῦν τοῖς ὠνίοις οἱ ἓξ ὀβολοὶ τὴν δρακα πληροῦντες δραχμὴ ἐκαλοῦντο· τὰ δ᾽ εἰσὶν ἐπιδιατετακότα, οἷον, ζωγράφος καὶ ὁ τὰ φυτὰ γράφων· τὰ δὲ καθ᾽ ὑπερβολὴν, ὡς ἄφωνος καὶ ἀκάρδιος· τὰ δὲ κατ᾽ εὐφημισμὸν, ὡς ἡ χολὴ γλυκεῖα· τὰ δὲ κατ᾽ ἀναλογίαν, ὡς ὄρους κορυφή· τὰ δὲ καθ᾽ ὁμοιότητα, οἷον ὁ λέγων πικρὸν τὸ ἦθος καὶ ὠμόν· τὰ δὲ κατὰ παρέγκλισιν, ὡς ἡ κνημὶς καὶ τὸ κρανίον· τὰ δὲ κατ᾽ ἔλλειψιν, ὡς ἡ τράπεζα, τετράπεζα οὖσα· τὰ δὲ ἀπὸ τῶν εὑρόντων, ὡς ὁ οἶνος Διόνυσος τὰ δὲ ἀπὸ τῶν εὑρημάτων, ὡς ὁ Ἥφαιστος πῦρ· τὰ δὲ καθ᾽ ὑπεροχὴν, ὡς ὁ κέραμος ὁ πίθος, καὶ χειρουργὸς ὁ ἰατρός· κέραμος γὰρ οὐδὲν ἧττον καὶ ἡ χύτρα καὶ ἡ κάλπις, καὶ χειρουργὸς οὐδὲν ἧττον καὶ ὁ ζωγράφος καὶ ὁ τέκτων.

πδ΄. Ὅτι οἱ παλαιοὶ ἐλάττοσιν ἐχρῶντο γράμμασι πρὸς δήλωσιν τῶν στοιχείων. Τὸ γοῦν ε̄, καὶ πρὸς τὴν ἐκφώνησιν ταύτην παρελάμβανον ἐπὶ τοῦ Ἑλένη, καὶ ἀντὶ τοῦ η̄, ὡς ἐπὶ τοῦ ξηρὸν ξερὸν, καὶ ἀντὶ τῆς ει̅ διφθόγγου εἰρεσίαν τὴν ἐρεσίαν καλοῦντες. Ὁμοίως δὲ καὶ τὸ ο̄ μικρὸν[178] καὶ τοῦτο ἐσήμηνεν[179] αὐτοῖς ὃ δηλοῖ νῦν, καὶ τὴν ου̅ δίφθογγον· τὸ γὰρ βούλεται βόλεται ἔλεγον, καὶ τὸν οὐρανὸν ὀρανόν· καὶ τὸ ω̄· καὶ γὰρ τὰς ὥρας ὄρας *) ἐκάλουν. Ὅταν οὖν[180] ὁ Πλάτων λέγῃ[181] τὸ ε̄ καὶ τὸ ο̄ τὰ ὀνόματα αὐτὰ[182])

---

178) *μικρὸν* abest ab AB.

179) V, *ἐσήμανεν.* Siebenkeesius, qui hunc locum excitavit e codice Barberino in *Expositione tesserae hospitalis* p. 25. vocem *ΔΑΜΙΟΡΓΟΣ* illustrans, habet *τὸ ο̄ μικρὸν ἐσήμανεν*, et ad rem confert Athen. XI. p. 466. [c. 30.].

*) Cf. Cratyl. §. 59.

180) Vat. non *οὖν*.

181) AB male *λέγει.* Cf. Cratyl. §. 23.

182) *αὐτὰ* ex Vat. sumpsi.

ταῖς δυνάμεσιν ἔχειν, ῥητέον αὐτὸν πρὸς τὰς διφθόγγους ἀποβλέπειν, αἳ πάλαι οὐκ ἐδόκουν εἶναι δίφθογγοι, ἀλλ' ἑνὸς ἐκφώνησις μηκυνθέντος. Ὡς γὰρ τὰ δίχρονα νῦν ἐκτείνεσθαι καὶ συστέλλεσθαι δυνατὸν καὶ ἕκαστόν ἐστιν ἕν, οὕτως καὶ ἐπὶ τούτων τῶν διφθόγγων ἐδόκει γίνεσθαι τοῖς παλαιοῖς. Ὅτι δὲ τοῦτο οὕτως ἐστὶν, ἑξῆς ὁ Πλάτων αὐτὸς δείξει. Τὸ γὰρ ὄνομα*) τῆς ἡμέρας ἐτυμολογῶν, ἐρεῖ τοὺς μὲν παλαιοὺς ἱ μ έ ρ α ν λέγειν διὰ τοῦ ῑ, τοὺς δὲ ὑστέρους διὰ τοῦ ε̄ λέγοντας ε ἱ μ έ ρ α ν, ὡς τοῦ ε̄ στοιχείου καὶ τὴν δίφθογγον σημαίνοντος.

πέ. Ὅτι οἰκείως νῦν τὸν Θεόφιλον καὶ τὸν Μνησίθεον[183]) παρείληφεν μονονουχὶ παρῳδῶν τὰ ἐν Φαίδρῳ †) λεγόμενα οὕτως· „μόνη γὰρ πτεροῦται ἡ τοῦ φιλοσόφου διάνοια· πρὸς γὰρ ἐκείνοις ἀεί ἐστι μνήμη κατὰ δύναμιν“· ἡ γὰρ πρὸς τὸ θεῖον συγγένεια τῶν ψυχῶν κατὰ τὸν πρὸς αὐτὸ ἔρωτα καὶ κατὰ τὴν τῆς ὑπάρξεως τοῦ θεοῦ μνήμην γίνεται, καὶ τοῖς τοιούτοις μόνοις προσήκει τὰ πατρῷα καὶ νοερὰ ὀνόματα ἔχειν, τὰ δὲ γενεσιουργὰ τοῖς τὸν ἀόριστον καὶ ὑλώδη βίον ἀσπασαμένοις.

πϛ. Ὅτι διττῶν τῶν ὀνομάτων ὄντων, τῶν μὲν ἐπὶ τοῖς ἀϊδίοις, ἃ καὶ κατ' ἐπιστήμην δηλονότι κεῖνται, τῶν δ' ἐπὶ τοῖς φθαρτοῖς, ἃ καὶ ἀπορεῖται (οὔτε γὰρ τοὺς πατέρας εἰκός ἐστι τοῖς ἑαυτῶν παισὶν**) ἀπαίσια τιθέναι ὀνόματα, οἷον, Ὀ ρ έ σ τ η ς[184]), Ἀ τ ρ ε ὺ ς, Τ ά ν τ α λ ο ς, οὔτε εἰκὸς προειδέναι[185]) αὐτοὺς τὸν τῶν παίδων ἐσόμενον βίον· καὶ γὰρ ἡ φυσιογνωμονικὴ ἀμυδρὸς συλλογισμὸς καὶ μάλιστα

*) Cf. Cratyl. §. 74. 75. Ibi Heindorf. haec verba edidit, et exhibuit *λέγοντας ἑμέραν*. Praestat nostra lectio. Non puto Proclum Platonis mentem recte cepisse.

183) Cratyl. §. 26.

†) Phaedr. §. 62.

**) Cf. cap. 83.

184) Cf. Cratyl. §. 26.

185) AB, *προσειδέναι*. V, *προιδέναι*.

ἐπὶ τῶν ἀρτιγενῶν)· πρὸς πάντα οὖν τὰ τοιαῦτα ἀπορήματα ὁ Σωκράτης κανόνας ἡμῖν ἐπιλύσεων σαφῶς παραδίδωσιν. Ἄνθρωποι μὲν γὰρ τὰς ἀφανεῖς περιόδους τῶν ψυχῶν οὐκ ἴσασιν, οὐδὲ τὰς πρὸ τῆς γενέσεως ὀρέξεις, ἐν αἷς τὸ ὅλων τῶν πράξεων σχεδὸν περιέχεται· διὸ καὶ οὐκ εἰσὶ κριταὶ τῆς ὀρθότητος τῶν ἑκάστῳ εἴδει ζωῆς συστοίχων ὀνομάτων· θεοὶ δ' ἄρα καὶ δαίμονες, οἱ καὶ τὰς δυνάμεις τῶν ψυχῶν καὶ τὰς ἐνεργείας προειληφότες, τοῦτο σαφῶς γινώσκουσι, τὸ οἰκείως τοῖς βίοις τὰ ὀνόματα τιθέναι· καὶ ὥσπερ τὸν ἄλλον κλῆρον αὐταῖς ἀπονεμοῦσι κατ' ἀξίαν, οὕτως καὶ τὰς ἐπωνυμίας. Ἐπειδὴ δὲ πανταχοῦ τῆς συντάξεως τῶν δοκούντων ἀτάκτων εἶναι καὶ ἀορίστων πραγμάτων αἰτιώμεθα τὴν τύχην, κἀνταῦθα[186]) δή που ταύτην παραληπτέον ὡς κυριωτάτην ἀρχήν. Οἱ μὲν γὰρ πατέρες πρὸς μνήμην ἢ ἐλπίδα ἤ τι τοιοῦτο βλέποντες, ὀνόματα τίθενται τοῖς παισὶν, ἡ δὲ τύχη τὸ παρ' ἐκείνων ἄλλον τρόπον τεθὲν κυροῖ διὰ τὴν πρὸς τὸν βίον αὐτῶν συμφωνίαν. Καλείτω τοίνυν ὁ Ἀγαμέμνων τὸν παῖδα Ὀρέστην, μὴ διὰ τὴν ἀγριότητα τοῦ ἤθους, ἀλλὰ διὰ τὴν ὁρμὴν καὶ τὴν εὐκινησίαν, παρὰ τὸ ὀρούειν[187]), ἤτοι καὶ ὁρῶν ἐν αὐτῷ[188]) τοιαῦτα σημεῖα φύσεως ἢ καὶ τοιοῦτον αὐτὸν γενέσθαι βουλόμενος, ἀλλ' ἡ τύχη τρόπον ἕτερον αὐτῷ τὸ ὄνομα τοῦτο ἀπεκλήρωσεν[189]) τὸν ἀληθέστερον· ἐκφαίνει γὰρ αὐτοῦ τὴν ζωὴν ὅλην. Διὸ καὶ ὁ Σωκράτης ἀπὸ ταύτης τῆς αἰτίας ἀξιοῖ ἐτυμηγορεῖν*) τὸ ὄνομα, ἀλλ' οὐκ ἀπὸ τῆς ἀνθρωπικωτέρας· ταύτην γὰρ ἑώρα τῷ πράγματι συμφωνοτέραν. Τῆς μὲν οὖν προσεχοῦς αἰτίας τῶν ὀνομάτων κατορθούσης, πολλῷ μειζόνως ἡ τύχη

---

186) V, καὶ ταῦθα. Mox A, παραληπτέον κυωτάτην.

187) A, παρὰ τοῦ: male. Cf. Heind. ad Cratyl. p. 54. et Moschopul. adlatum in nota ad Philostr. Her. p. 315.

188) V dedit solus ἐν αὐτῷ.

189) V ad marg. ἀπεπλήρωσεν. B, ἀπενκλήρωσεν.

*) Cratyl. §. 26.

ποιητικὴ τῶν τιθεμένων ἐστὶ, ταύτης δὲ ἁμαρτανούσης, οὐδὲν κωλύει τὴν ὁλικὴν αἰτίαν τὴν τυχαίαν κατορθοῦν· ἐπεὶ καὶ ἐν τῇ φύσει τὸ αὐτὸ γίνεται. Κατορθούσης μὲν γὰρ τῆς μερικῆς φύσεως, καὶ ἡ ὅλη πολλῷ μᾶλλον κατορθοῖ, ἀστοχούσης δὲ ἐκείνης δύναται ἡ ὅλη φύσις κατορθοῦν. Μὴ δή τις τὴν τύχην ταύτην ἀλόγιστον αἰτίαν ἡγείσθω καὶ ἀόριστον (τὸ γὰρ ἔργον αὐτῆς εἰς νοῦν βλέπει), ἀλλὰ θείαν ἢ δαιμονίαν δύναμιν, οὐδὲν ἀφιεῖσαν[190]) ἔρημον τῆς οἰκείας ἐπιστασίας, ἀλλὰ πάντα καὶ τὰ ἔσχατα τῶν ἐνεργημάτων ἡμῶν κατευθύνουσαν πρὸς τὸ εὖ καὶ πρὸς τὴν τοῦ παντὸς τάξιν· κατὰ γὰρ ταύτην καὶ πράττομεν ὀρθῶς πολλὰ, καὶ ἀναφθεγγόμεθα εὐστόχως, καὶ νοοῦμεν ἐπιβόλως· οἷον, Φάρος μέντοι πρῶτον ἐπέπνευεν μέγα δαίμων· καὶ μηδέ σε δ α ί μ ω ν ἐνταῦθα τρέψειε[191]), φίλος· κινούμεθα γὰρ ἀπὸ τῶν κρειττόνων αἰτίων ἄνωθεν, οἷον ἐκ πρύμνης τῆς οὐσίας ἡμῶν, τὰ ἡμέτερα κυβερνᾶν δυναμένων. Μίαν μὲν οὖν ταύτην ὁ Πλάτων εἰσήγαγεν αἰτίαν τῆς ὀρθῆς τῶν ὀνομάτων θέσεως, ἑτέραν δὲ τὴν τῶν ποιητῶν ἐνθεαζόντων καὶ ἐπιβαλλόντων τῇ ἀληθεῖ ὀνοματουργίᾳ, ὁρώντων τὰ ἐκβεβηκότα τῶν πράξεων καὶ δι᾽ αὐτῶν οἷον ἀναλυόντων εὐστόχως καὶ εὑρισκόντων τὰ οἰκεῖα ὀνόματα. Τί οὖν κωλύει τοὺς ποιητὰς εἰς τὴν τόλμαν ἀπιδόντας τοῦ Ὀρέστου τὴν κατὰ τῆς μητρὸς, οὕτως αὐτὸν καλέσαι Ὀρέστην ὡς ὄρειον καὶ ἄγριον, καὶ ὡς[192]) ἄκαρπον, ἅτε τὴν ἀρχὴν ἐκτεμόντα τὴν οἰκείας γενέσεως, καὶ τοῦτο παραδοῦναι τὸ ὄνομα[193]) τοῖς Ἕλλησιν, τοὺς δὲ λαβόντας εὐστόχως τεθὲν, κυρῶσαι διὰ τῆς χρήσεως. Διὰ δὲ τῆς μιᾶς σειρᾶς τοῦ γένους προελθὼν ὁ Σωκράτης τῇ ἐτυμολογίᾳ δείκνυσιν, ὅτι οὐ κατ᾽ ἐκλογὴν ἀνθρώπων ἄλλῃ καὶ ἄλλῃ διεσπαρμένων τοῦτο

---

190) V, ἀφεῖσαν.
191) AB, τρίψειε.
192) AB sine καί. V sine ὡς. Utrumque recepi.
193) A sine τὸ ὄνομα.

ἐξ ἐπιτηδεύσεως ἔτυχεν, ἀλλ' ἀνάπαλιν ἐπὶ μιᾶς συγγενείας τῆς τυχούσης τοῦτο ὁρᾶται γινόμενον· ὥστε καὶ καθόλου ἀνάγκη τοῦτο οὕτως ἔχειν, καὶ κατὰ τὰ εἴδη τῆς ζωῆς αἱ ἐπωνυμίαι κεῖνται τοῖς ἐκ ταυτοῦ γένους οὖσι, καὶ οὐ κατὰ τὴν διαδοχὴν τῆς φύσεως· ἀκοινώνητον γὰρ πάντῃ καὶ ἀλλότριον, ὥσπερ τὸ τοῦ Ὀρέστου καὶ Ἀγαμέμνονος ἦθος, οὕτως καὶ ἡ ἐπ' αὐτοῖς κλῆσις.

πζ'. Ὅτι ἀεὶ ἐν ταῖς ἐτυμηγορίαις ὁ Πλάτων πρῶτον ἐνδείκνυσιν ἐφ' ἑαυτοῦ τὸ πρᾶγμα τὸ δηλούμενον, ἔπειθ' οὕτως τὸ πρὸς ἐκεῖνο μὲν ὁμοιούμενον, ἐνυπάρχον δ' ἴχνος αὐτοῦ ταῖς συλλαβαῖς τοῦ ὀνόματος, οἷον ἐπὶ τοῦ Ὀρέστου[194]) πρῶτον τὸ θηριῶδες εἰπὼν καὶ τὸ ἄγριον, ὕστερον τὸ ὄρειον προστέθεικεν, ὅπερ ταῖς συλλαβαῖς ἔγκειται, ἐπὶ δὲ τοῦ Ἀγαμέμνονος τὸ διαπονεῖσθαι καὶ καρτερεῖν προειπὼν, ἐπήγαγεν „ὅτι οὖν ἀγαστὸς ἀνὴρ διὰ τὴν ἐπιμονήν·“ οὕτως καὶ ἐπὶ τῶν ἑξῆς.

πη'. Ὅτι ἐν ταῖς ἐτυμηγορίαις[195]) ὁ Πλάτων τῆς μὲν ὕλης καταφρονῶν, τοῦ δὲ εἴδους μάλιστα ἀντεχόμενος, τὸ[196]) Ἀγαμέμνονα παρὰ τὸ ἀγαστὸν συγκεῖσθαι λέγει[197]), οὐ παρὰ τὸ ἄγαν· οἱ δὲ γραμματικοὶ ἅτε τῇ ὕλῃ προσκείμενοι μάλιστα, τὸ δὲ τῆς ζωῆς εἶδος μὴ ὁρῶντες, εἰκότως ἀπεναντίας ἐτυμολογήσουσιν.

πθ'. Ὅτι καὶ ἐν τούτοις Πλάτων ἐνδείκνυται, ὅτι τὸ εἶναι ἡμῖν ἐν ψυχῇ ἐστὶ καὶ οὐκ ἐν σώματι, εἴπερ καὶ τὰ ὀνόματα ἐκ τῶν ψυχικῶν ἰδιωμάτων ὁρᾷ, καὶ οὐκ ἐκ τῶν σωματικῶν.

ϟ'. Ὅτι καὶ πρὸς τὸ ἦθος ἡμᾶς ὀνίνησιν ὁ θεῖος Πλάτων ἐν τούτοις, εἴπερ τοὺς περὶ Ὀρέστην καὶ Ἀγαμέμνονα καὶ Ἀτρέα[198]), ὡς σφοδρούς τινας καὶ θυμοειδεῖς παραδίδωσιν καὶ τιμωρητικούς. Ἀλλ'

194) cf. Cratyl. §. 26.
195) V, ἐτυμολογίαις.
196) V, τόν.
197) Cratyl. ibid.
198) Cf. Cratyl. §. 27.

ἐπεὶ οἱ μὲν ἄκροι, ὁ μὲν εἰς τὴν μητέρα, ὁ δὲ εἰς τὰ τέκνα ἐπλημμέλησεν, εἰκότως ψέγονται· ὁ δ' Ἀγαμέμνων ἐπειδὴ τὴν σφοδρότητα εἰς τὸ φύσει πολέμιον γένος τῶν βαρβάρων ἐξήνεγκεν, ἀγαστὸς καὶ ἐπαινετὸς παραδίδοται.

ϟα'. Ὅτι τὰ κατὰ Πέλοπα[199]) διδάσκουσιν ἡμᾶς πρῶτον μὲν τῶν φαινομένων ὑπερορᾶν, καὶ πρὸς τὰς ὅλας τῶν ψυχῶν περιόδους βλέπειν, καὶ οὐκ ἐξάπαντος ἀντέχεσθαι τῶν ἀνθρωπίνων, ἀλλὰ πρὸς ταῦτα μὲν κεχαλᾶσθαι[200]) δεῖν, πρὸς δὲ τὰ θεῖα καὶ τὴν ἀρετὴν συντόνους εἶναι· καὶ ὅτι τῶν προγονικῶν ἁμαρτημάτων κοινωνοῦσιν οἱ παῖδες τῆς δίκης. Καὶ γὰρ αἱ ψυχαὶ, διὰ τῆς πρὸς τοὺς ἀδίκους συντάξεως, μέτοχοι γίνονται τῆς ἀδικίας, καὶ τὰ σώματα αὐτῶν ἀπὸ σπερμάτων ὑπέστη πονηρῶν, καὶ τὰ ἐκτὸς ἐξημαρτημένων ἔλαβε τὴν ἀρχήν. Τούτων δὲ, φησὶν ὁ ἐν Φαίδρῳ*) Σωκράτης, ἡ τελεστικὴ δύναται καθαιρεῖν, λύουσα τῶν παρόντων κακῶν διὰ τῆς περὶ τὸ θεῖον λατρείας.

ϟβ'. Ὅτι τὸ κατὰ τὸν Τάνταλον[201]) διήγημα αἰνίττεται ψυχήν τινα ἀναχθεῖσαν μὲν διὰ θεωρίας εἰς τὸ νοητὸν (τροφὴ γὰρ θεῶν τὸ νοητὸν), ἀποπεσοῦσαν δὲ τοῦ νοητοῦ τόπου εἰς γένεσιν κατενεχθῆναι, καὶ τῷ πλήθει τῆς ἀλογίας κοινωνῆσαι τὴν νοερὰν ἑαυτῆς ζωὴν νεοτελῆ μένουσαν (διὸ καὶ παῖδα λέγεσθαι Διός· πᾶσα γὰρ ψυχὴ νεοτελὴς ἐκ τῆς τοῦ Διὸς αὐλῆς εἰς τὴν γένεσιν κάτεισιν· διὸ καὶ πατὴρ ἀνδρῶν τε θεῶν τε ὁ Ζεύς), συγγενομένην δ' εἰδώλοις ἀντ' ἀληθῶν, καὶ ἀναπλησθεῖσαν[202]) τῶν ἐνταῦθα κακῶν ἐν ᾅδου τίνειν δίκας, πολὺ μὲν ἔχουσαν ἐπηρτημένον αὐτῇ τὸ γεῶδες καὶ βριθὸν καὶ ἔνυλον[203]), ὑφ' οὗ

---

199) Cratyl. §. 27. — Supra A, παραδίδωται.
200) AB, καὶ χαλᾶσθαι.
*) Phaedr. §. 49.
201) Cratyl. §. 28.
202) A, ἀναπληθεῖσαν. B, ἀναληθεῖσαν.
203) B, ἔκυλον.

τὸ νοερὸν αὐτῆς κατορώρυκται, πάντων δ' οὖσαν ἐν ἐνδείᾳ τῶν θείων καρπῶν, καὶ φαντασίας μὲν αὐτῶν ἴσχουσαν ψιλὰς, διαπίπτουσαν δὲ τῆς ἀληθοῦς καὶ ἐναργοῦς αὐτῶν ἀντιλήψεως.

ϟγ'. Ὅτι τὸ μὲν ἀποκληρωθῆναι τῷ τοιῷδε βίῳ τὸ τοιοῦτον ὄνομα, τῆς τύχης[204]) ἔργον, τὸ δὲ κρατῆσαι τοῦτο παρὰ πᾶσιν, τῆς φήμης*)· ἡ γὰρ φήμη Διὸς ἄγγελος, καθ' Ὅμηρον.

ϟδ'. Ὅτι ἀναλυτικῶς ὁ Σωκράτης ἀπὸ τῶν θείων ὀνομάτων, ἀγαλμάτων ὄντων τῶν θεῶν, ἐπὶ τὰς δυνάμεις αὐτῶν ἀνατρέχει καὶ τὰς ἐνεργείας· τὰς γὰρ οὐσίας αὐτῶν ὡς ἀῤῥήτους καὶ ἀγνώστους μόνῳ τῷ ἄνθει τοῦ νοῦ †) θεωρεῖν καταλείπει. Πάγκαλον οὖν ἐστὶ καὶ τὸ τοῦ Διὸς δημιούργημα ὁ οὐρανὸς καὶ τὸ ὄνομα αὐτοῦ[205]), ἀλλὰ τὸ μὲν τῆς οὐσίας αὐτοῦ διὰ ψυχῆς τῆς ὅλης[206]) φύσεως ὑποστάν ἐστιν[207]), τὸ δὲ τῆς γνώσεως διὰ τῆς μερικῆς ψυχῆς ἀπογεννηθέν.

ϟε'. Ὅτι τῶν ἀκήρατον φυλαξάντων τὸ δίϊον εἶδος τῆς ζωῆς οὐ λέγεται πατὴρ ὁ Ζεὺς, ἀλλ' ἔστιν, ὥσπερ Ἡρακλέους καὶ Διοσκούρων, τῶν δ' οὐδ' ἐπιστρέψαι ποτὲ πρὸς τὸ θεῖον δυνηθέντων, οὐδαμοῦ πατὴρ ἂν κληθείη, οὔθ' ὡς ὑπάρχων, οὔθ' ὡς λεγόμενος· ὅσοι δ' ἄρα μετέσχον μέν τινος ὑπὲρ τὴν θνητὴν φύσιν ἐνεργείας, αὖθις δ' εἰς τὸν τῆς ἀνομοιότητος ἠνείχθησαν[208]) πόντον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἀμπλακίας τὴν παρ' ἀνθρώποις ἠλλάξαντο τι-

---

204) V, ψυχῆς. Cf. Cratyl. §. 28.

*) Cf. Cratyl. §. 28. ubi forte: ἔοικεν ἐκπορίσαι ἡ τύχη τῇ φήμῃ.

†) Oraculum Chaldaïcum: ἔστι τι νοητὸν ὃ χρή σε νοεῖν νόου ἄνθει: ubi Psellus p. 98. quid sit νοῦ ἄνθος explicat. Cf. infra c. 113.

205) Cratyl. §. 29.

206) V addit καί.

207) VB, ἐστιν κῶ. A, ἐστιν ἡ ὦ. Vix divino, quid hic lateat. Forte κόσμῳ.

208) AB, ἠνεχθεῖσαν.

μὴν*), τούτοις μὲν πατὴρ ὁ Ζεὺς, ἀλλὰ τὸ ὅλον δὴ τοῦτο λεγόμενος πατήρ.

ϟϛʹ. Ὅτι τὸ πατρικὸν αἴτιον ἄρχεται μὲν ἄνωθεν ἀπὸ τῶν νοητῶν καὶ κρυφίων θεῶν (ἐκεῖ γὰρ οἱ πρώτιστοι τῶν ὅλων πατέρες), πρόεισι δὲ διὰ πάντων τῶν νοερῶν θεῶν, εἰς τὴν δημιουργικὴν τάξιν. Καὶ γὰρ ταύτην ἅμα ποιητικήν τε καὶ πατρικὴν ἀνυμνεῖ ὁ Τίμαιος †) λέγων „δημιουργὸς πατήρ τε ἔργων," ἀλλ' ἐπὶ μὲν τῶν ἀνωτέρω τῆς μιᾶς δημιουργίας θεοὶ θεῶν[209]) λέγονται πατέρες, ὁ δὲ δημιουργὸς πατὴρ ἀνδρῶν τε θεῶν τε, ὑφιστὰς θεούς τε καὶ ἀνθρώπους, ἐπὶ[210]) δὲ τῶνδε τινῶν ἰδίως καλεῖται πατὴρ, οἷον, Ἡρακλέους, οἳ τὸν δίϊον βίον καὶ ἡγεμονικὸν διὰ τῆς ἐν τῇ γενέσει ζωῆς ἀτρέπτως διεφύλαξαν. Τριχῶς ἄρα πατὴρ ὁ Ζεὺς, θεῶν, ψυχῶν, μερικῶν ψυχῶν, νοερὸν καὶ δίϊον ἑλομένων[211]) βίον.

ϟζʹ. Τῆς τοίνυν νοερᾶς τῶν θεῶν διακοσμήσεως ἄνωθεν μὲν ὁριζομένης τῷ βασιλεῖ τῶν ὅλων θείων γενῶν καὶ πατρικὴν ἔχοντι πρὸς πάντας τοὺς νοεροὺς ὑπεροχὴν, ὅν τε Φάνητα, φησὶν Ὀρφεὺς[212]),

Πρωτόγονον Μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον,

προϊούσης δὲ διά τε τῶν τριῶν νυκτῶν καὶ τῶν οὐρανίων ὑποστάσεων εἰς τὴν Τιτανικὴν γενεὰν[213]), ἡ πρώτη τῶν πατέρων ἑαυτὴν διέκρινε, καὶ τῆς συνοχικῆς βασιλείας τὴν διαιρετικὴν ἠλλάξατο τῶν ὅλων προστασίαν, καὶ ἀναφαίνεται πᾶν τὸ δημιουργικὸν

---

*) Respicit dictum Ibyceum, de quo vide notas ad Marin. p. 65.

†) Platon. Tim. §. 27.

209) AB non τῆς nec θεῶν. Locus Timaei firmat lectionem θεῶν.

210) V, ἔτι.

211) Codd. ἑλόμενον.

212) Iam supra c. 70. B, ὄντα. A, ὄν τα. Werfer hunc locum exhibuit in Actis Philol. Monac. t. 2. p. 120. ab τῆς τοίνυν νοερᾶς usque ad τῷ παντὶ προνοίας.

213) V, γενετ' ἄν.

τῶν θεῶν γένος, ἀπὸ πάντων μὲν τῶν προειρημένων ἀρχικῶν αἰτίων καὶ βασιλικῶν, προσεχῶς δ' ἀπὸ τοῦ ἑνὸς τῶν Τιτανικῶν διακόσμων ἡγεμόνος, καὶ πρὸ τῶν ἄλλων δημιουργῶν ὁ Ζεὺς τὸ ἑνιαῖον κράτος τῆς ὅλης δημιουργικῆς σειρᾶς κληρωσάμενος, καὶ τά τε ἀφανῆ πάντα καὶ τὰ ἐμφανῆ παράγων καὶ ὑφιστὰς, νοερὸς μὲν αὐτὸς ὑπάρχων κατὰ τὴν τάξιν, τὰ δ' εἴδη τῶν ὄντων καὶ τὰ γένη προάγων εἰς τὴν τῶν αἰσθητῶν διακόσμησιν, καὶ τῶν μὲν ὑπὲρ ἑαυτὸν θεῶν πεπληρωμένος, τοῖς δ' ἐγκοσμίοις πᾶσιν ἀφ' ἑαυτοῦ τὴν εἰς τὸ εἶναι πρόοδον παρέχων. Διὸ δὴ καὶ Ὀρφεὺς δημιουργοῦντα μὲν αὐτὸν τὴν οὐρανίαν πᾶσαν γενεὰν παραδίδωσιν, καὶ ἥλιον ποιοῦντα καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστρῴους θεοὺς, δημιουργοῦντα δὲ τὰ ὑπὸ σελήνην στοιχεῖα καὶ διακρίνοντα τοῖς εἴδεσιν ἀτάκτως ἔχοντα πρότερον, σειρὰς δ' ὑφιστάντα [214]) θεῶν περὶ ὅλον τὸν κόσμον εἰς αὐτὸν ἀνηρτημένας, καὶ διαθεσμοθετοῦντα πᾶσι τοῖς ἐγκοσμίοις θεοῖς τὰς κατ' ἀξίαν διανομὰς τῆς ἐν τῷ παντὶ προνοίας. Καὶ Ὅμηρος δ' ἑπόμενος Ὀρφεῖ πατέρα μὲν αὐτὸν ἀνυμνεῖ κοινῇ θεῶν τε καὶ ἀνθρώπων καὶ ἡγεμόνα καὶ βασιλέα καὶ ὕπατον κρειόντων [215]), καὶ περὶ αὐτὸν συνάγεσθαί φησι πᾶν τὸ πλῆθος τῶν ἐγκοσμίων θεῶν καὶ ἐν αὐτῷ μένειν καὶ ὑπ' αὐτοῦ τελειοῦσθαι· καὶ γὰρ ἐπιστρέφειν πάντας πρὸς αὐτὸν διὰ τῆς Θέμιδος·

Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι.
ἡ δ' ἄρα πάντη
Φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι [216])·

καὶ ἀγείρονται πάντες κατὰ τὴν μίαν τοῦ Διὸς βούλησιν, καὶ γίνονται Διὸς ἔνδον, ὥς φησιν ἡ ποίησις, καὶ διακρίνει πάλιν ἔνδον αὐτοὺς κατὰ τὰς δύο συστοιχίας, καὶ εἰς τὴν πρόνοιαν ἀνεγείρει τῶν δευτέρων,

---

214) VB, σειρᾶς δ' ὑφιστ. — Modo AB ἀστάκτου pro ἀτάκτως.

215) Il. θ. 31. ο. 47.

216) Il. υ. 4. — AB; Ζεὺς δὲ Θ. κ. Διὸς π. δ. νέεσθαι.

*μένων αὐτὸς ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει, κατὰ τὸν Τίμαιον*[*])·

*Ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρεν*[217])·
*χωριστὸς δ' ἐκεῖνός ἐστι καὶ ἀφ' ὅλων*[218]) *ἐξῃρημένος τῶν ἐγκοσμίων· ὅθεν καὶ οἱ τῶν ἄλλων θεῶν ὁλικώτατοι καὶ ἡγεμονικώτατοι, καίτοι δοκοῦντες ἰσάξιοί πως εἶναι τῷ Διῒ διὰ τὴν ἀπὸ τῶν αὐτῶν αἰτίων πρόοδον πατέρα καλοῦσιν αὐτόν· καὶ γὰρ ὁ Ποσειδῶν καὶ ἡ Ἥρα διὰ ταύτης αὐτὸν τῆς προσρήσεως ἀνευφημοῦσιν· καίτοι καὶ ἡ Ἥρα δικαιολογεῖται πρὸς αὐτὸν ὡς τῆς αὐτῆς οὖσα τάξεως*[219])·

*Καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι ἔνθεν ὅθεν σοί,*
*Καί με πρεσβυτάτην τέκετο Κρόνος·*

*ἀλλὰ καὶ ὁ Ποσειδῶν*[220])·

*Τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,*
*Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης·*

*ἀλλὰ καὶ*[221]) *ὅμως πατὴρ ὑπ' ἀμφοῖν προσαγορεύεται. Τὸ δ' αἴτιον, ὅτι πάσης τῆς δημιουργίας τὴν μίαν καὶ ἀμέριστον αἰτίαν προείληφεν, καὶ ἔστι πρὸ τῆς Κρονίας τριάδος καὶ τῶν τριῶν πατέρων συνοχεύς, καὶ τὴν τῆς Ἥρας ζωογονίαν περιέχει πανταχόθεν· ὅθεν δὴ καὶ ψυχούσης ἐκείνης τὸ πᾶν, αὐτὸς μετὰ τῶν ἄλλων καὶ τὰς ψυχὰς ὑφίστησιν. Εἰκότως οὖν καὶ τὸν ἐν Τιμαίῳ δημιουργὸν τὸν μέγιστον εἶναι Δία φαμέν. Αὐτὸς γάρ ἐστιν ὁ καὶ τοὺς νοῦς παράγων τοὺς ἐγκοσμίους καὶ τὰς ψυχάς. Καὶ μὴν καὶ ὁ τὰ σώματα πάντα τοῖς τε σχήμασι καὶ τοῖς ἀριθμοῖς διακοσμῶν, καὶ μίαν ἕνωσιν καὶ φιλίαν αὐτοῖς ἄλυτον καὶ δεσμὸν ἐντιθείς, οὗτός ἐστιν,*

---

*) Platon. Tim. §. 30.
217) Il. *υ*. 31.
218) AB, *ἄφωνος*. — Modo V, *δ' ἐστὶν ἐκεῖνος*.
219) Il. *δ*. 58.
220) Il. *ο*. 187.
221) AB sine *καί*.

*Τοιαῦτα* *) *γὰρ καὶ παρὰ τῷ Ὀρφεῖ συμβουλεύει τῷ Διῒ περὶ τῆς τοῦ παντὸς δημιουργίας ἡ Νύξ* [222])·

*Αὐτὰρ ἐπὴν δεσμὸν κρατερὸν περὶ πᾶσι τανύσσῃς.*

*Δεσμὸς δὲ τῶν ἐγκοσμίων, προσεχὴς μὲν, ὁ διὰ τῆς ἀναλογίας, τελειότερος δ' ὁ παρὰ τοῦ νοῦ καὶ τῆς ψυχῆς· διὸ καὶ ὁ Τίμαιος τήν τε διὰ τῆς ἀναλογίας κοινωνίαν τῶν στοιχείων δεσμὸν προσείρηκεν, καὶ τὴν ἀπὸ τῆς ζωῆς ἀδιάλυτον ἕνωσιν· „δεσμοῖς γὰρ ἐμψύχοις δεθέντα ζῶα ἐγεννήθη" φησὶν* **). *Τούτων δ' ἔτι* [223]) *σεμνότερος δεσμὸς ἀπὸ τῆς δημιουργικῆς ὑπάρχει βουλήσεως· „τῆς ἐμῆς, φησὶ* †), *βουλήσεως μείζονος ἔτι καὶ κυριωτέρου δεσμοῦ λαχόντες ἐκείνων." Ταύτης τοίνυν τῆς ἐννοίας περὶ τοῦ μεγίστου Διὸς ὥσπερ ἀσφαλοῦς ἐχόμενοι πείσματος, ὅτι δημιουργός ἐστι καὶ πατὴρ τοῦδε τοῦ παντὸς, καὶ ὅτι νοῦς ἀμέθεκτος παντελὴς, καὶ ὅτι πάντα πληροῖ τῶν τ' ἄλλων ἀγαθῶν καὶ τῆς ζωῆς, θεωρήσωμεν, ὅπως ὁ Σωκράτης ἀπὸ τῶν ὀνομάτων ἐκφαίνει τὴν περὶ τοῦ θεοῦ τούτου μυστικὴν ἀλήθειαν.*

ϟή. *Ὅτι ὁ μὲν Τίμαιος ἐργώδη* ††) *φησὶν εἶναι τὴν γνῶσιν τῆς τοῦ δημιουργοῦ οὐσίας, νῦν δ' ὁ Σωκράτης* [224]) *τὸ ὄνομα αὐτοῦ οὐ ῥᾴδιον εἶναι κατανοῆσαι λέγει, ὅπερ τὴν δύναμιν καὶ ἐνέργειαν αὐτοῦ δηλοῖ.*

ϟθ'. *Ὅτι τὸ ἀμέριστον τῆς τῶν θεῶν ἐνεργείας μεριστῶς ἡ ψυχὴ ἡμῶν γινώσκει, καὶ πεπληθυσμένως τὸ ἑνιαῖον, καὶ μάλιστα τοῦτο γίνεται περὶ τὸν δημιουργὸν, οὗ καὶ τὸ ἓν ὄνομα ὡς λόγον προφέρομεν, τοῦ ἐξαπλοῦντος τὰ εἴδη τὰ νοερὰ, καὶ τὰς νοητὰς αἰτίας προκαλουμένου καὶ ἀνελίσσοντος πρὸς τὴν*

---

*) Ab *Τοιαῦτα* usque ad *τῆς ψυχῆς* descripsit Werfer in Actis l. c. p. 128.

222) Orph. fragm. X. n. 9.

**) Plato Tim. §. 22.

223) AB, *δ' ὡς*.

†) ibid. §. 27.

††) ibid. §. 13.

224) Cratyl. §. 28.

*τοῦ παντὸς δημιουργίαν· καὶ γὰρ ὁ Παρμενίδης τῇ ταυτότητι καὶ τῇ ἑτερότητι τοῦτον [225]) χαρακτηρίζει, καὶ δύο πίθοι παρ' αὐτῷ κατὰ τὴν *) ποίησιν, καὶ ἡ μυστικωτάτη παράδοσις, καὶ αἱ παρὰ τῶν θεῶν φῆμαι λέγει, ὡς δυὰς παρὰ τῷδε κάθηται, καὶ φησὶν (ἀμφότερον γὰρ ἔχει) νῷ μὲν **) κατέχειν τὰ νοητὰ, αἴσθησιν δ' ἐπάγειν κόσμοις. Καὶ τί δεῖ λέγειν; Αὐτόθεν γὰρ αὐτὸν προσαγορεύει δὶς ἐπέκεινα [226]) καὶ δὶς ἐκεῖ, καὶ ὅλως αὐτὸν διὰ τῆς δυάδος εὐφημεῖ· πᾶν γὰρ τὸ γόνιμον καὶ ὑποστατικὸν τῶν ἐγκοσμίων ἑνοειδῶς ὁ δημιουργὸς προείληφεν, εἰκότως ἄρα καὶ τὸ ὄνομα διττόν ἐστιν αὐτοῦ, ὧν τὸ μὲν, Δία [227]), τὴν δι' οὗ αἰτίαν δηλοῖ, ἥτις ἐστὶν ἡ πατρικὴ ἀγαθότης, τὸ δὲ, Ζῆνα, τὴν ζωογονίαν, ὧν τὰς πρώτας ἐν τῷ παντὶ αἰτίας ὁ δημιουργὸς ἑνιαίως προείληφεν· καὶ ἔστι τὸ μὲν τῆς Κρονικῆς σειρᾶς καὶ πατρικῆς σύμβολον, τὸ δὲ τῆς ζωογόνου Ῥέας καὶ μητρικῆς, καὶ ὡς μὲν τὸν Κρόνον ὅλον εἰσδεξάμενος οὐσιοποιός ἐστι τῆς τριπλῆς οὐσίας, ἀμερίστου, μέσης, μεριστῆς, κατὰ δὲ τὴν ἐν ἑαυτῷ Ῥέαν, τριπλῆν πηγάζει ζωὴν, νοερὰν, ψυχικὴν [228]), σωματικήν. Ταῖς δὲ δημιουργικαῖς ἑαυτοῦ δυνάμεσι καὶ ἐνεργείαις εἰδοποιεῖ ταῦτα καὶ διακρίνει, καὶ ἔστιν ἄρχων καὶ βασιλεὺς πάντων, καὶ τῶν τριῶν δημιουργῶν ἐξήρηται. Οὗτοι μὲν γὰρ διείλοντο τὴν τοῦ πατρὸς ἀρχὴν, ὥς φησιν ὁ ἐν Γοργίᾳ ***) Σωκράτης, ὁ δὲ Ζεὺς οὗτος ἅπαξ τῶν τριῶν ἀδιαιρέτως βασιλεύει καὶ ἑνιαίως ἄρχει· ἔστιν οὖν τῆς μὲν*

---

225) AV, *τούτου*.

*) Homer. Il. 24. 527.

**) Hinc in Collectione Oraculorum Tayloriana receptum Class. Ephemer. t. 17. p. 247.

226) Cf. Psellum Expos. Dogm. Chaldaic. p. 114. Et infra Cap. 107.

227) Codd. *διά*. Cf. Cratyl. §. 28.

228) Codd. *ψυχήν*.

***) Plato Gorg. §. 166.

πατρικῆς τριάδος αἴτιος καὶ τῆς συμπάσης δημιουργίας, συνοχεὺς δὲ τῶν τριῶν δημιουργῶν, καὶ βασιλεὺς μὲν ὡς τοῖς πατράσι συντεταγμένος, ἄρχων δ᾽ ὡς προσεχῶς τῆς δημιουργικῆς τριάδος ὑπεριδρυμένος, καὶ τὴν ἑνοειδῆ περιέχων αὐτῆς αἰτίαν. Τὸ δὲ δίχα διειλῆφθαι τοὔνομα, ἐμφαίνει, ὅτι μεριστῶς αἱ εἰκόνες τὰς ἑνιαίας τῶν παραδειγμάτων αἰτίας καταδέχονται, καὶ ὅτι συγγενὲς τοῦτο τῷ τὴν νοερὰν ἐν ἑαυτῷ προστησαμένῳ δυάδα· καὶ γὰρ διττοὺς ὑφίστησι διακόσμους, τόν τε οὐράνιον καὶ τὸν ὑπουράνιον, ὅθεν αὐτοῦ καὶ τὸ σκῆπτρον εἶναί φησιν ὁ Θεολόγος[229]),

— πισύρων καὶ εἴκοσι μέτρων,
ὡς διττῶν ἄρχοντος δυοδεκάδων.

ρ΄. Ὅτι ἡ τοῦ κόσμου ψυχὴ τοῖς ἑτεροκινήτοις δίδωσι τὸ ζῆν· τούτοις γὰρ πηγὴ καὶ ἀρχὴ κινήσεως γίνεται, ὥς φησιν ὁ Πλάτων ἔν τε Φαίδρῳ*) καὶ ἐν Νόμοις, ὁ δὲ δημιουργὸς ἅπασιν ἁπλῶς χορηγεῖ τὴν ζωὴν τήν τε θείαν καὶ τὴν νοερὰν καὶ τὴν ψυχικὴν, καὶ τὴν περὶ τοῖς σώμασι μεριστήν.

ρα΄. Ὅτι κατ᾽ αἰτιατικὴν πτῶσιν ἡ ἐτυμηγορία γέγονεν**) οἰκείως· αἴτιος γὰρ ὁ Ζεὺς πάντων ἁπλῶς.

ρβ΄. Μὴ δή τις οἰέσθω τοὺς θεοὺς ἐν ταῖς ἀπογεννήσεσι τῶν δευτέρων ἐλασσοῦσθαι, μηδ᾽ ἀπομερισμὸν τῆς οἰκείας οὐσίας ὑπομένειν εἰς τὴν τῶν καταδεεστέρων ὑπόστασιν, μηδ᾽ ἔξω που ἑαυτῶν ἐκτίθεσθαι τὰ γεννήματα, ὥσπερ τοὺς τῶν θνητῶν παίδων αἰτίους, μηδ᾽ ὅλως κινουμένους ἢ μεταβάλλοντας γεννᾶν, ἀλλὰ μένοντας ἐν ἑαυτοῖς αὐτῷ τῷ εἶναι παράγειν τὰ μετὰ ταῦτα, καὶ περιέχειν τὰ ὑποστάντα πανταχόθεν, καὶ πάσας αὐτῶν τὰς ποιήσεις καὶ

---

229) Non editum fragmentum, ut videtur. — Sic olim scripsi; nunc editum est a Werfero in Actis Monac. t. 2. p. 129. cum verbis *καὶ γὰρ — δυοδεκάδων.*

*) Plato Phaedr. §. 51.

**) Nempe per *Δία*, accusativum. Cf. Cratyl. §. 28. 29.

τὰς ἐνεργείας ἄνωθεν τελειοῦν. Μὴ δ' αὖ τοὺς παῖδας λεγομένους τῶν ὁλικωτέρων θεῶν ἡγείσθω τις ἀφίστασθαι τῶν πρεσβυτέρων καὶ διακόπτειν τὴν πρὸς αὐτοὺς ἕνωσιν, μηδὲ τὴν ἰδιότητα τῆς ὑπάρξεως διὰ κινήσεως παραδέχεσθαι καὶ ἀοριστίας εἰς τὸν ὅρον ἐπιστρεφομένης (οὐδὲν γὰρ ἄλογον οὐδ' ἄμετρόν ἐστιν ἐν τοῖς κρείττοσιν ἡμῶν)· ἀλλὰ καὶ τὰς προόδους ἡγείσθω δι' ὁμοιότητος γίνεσθαι, καὶ μίαν κοινωνίαν τῆς οὐσίας εἶναι καὶ συνέχειαν τῶν δυνάμεων καὶ τῶν ἐνεργειῶν ἀδιαίρετον, παρά τε τοῖς παισὶ καὶ τοῖς πατράσιν αὐτῶν, τῶν μὲν δευτέρων ὅλων ἐνιδρυομένων τοῖς πρεσβυτέροις, τούτων δ' αὖ πάλιν τελειότητος καὶ ἀκμῆς καὶ δραστηρίου ποιήσεως τοῖς καταδεεστέροις μεταδιδόντων. Κατὰ δὴ τούτους τοὺς προσδιορισμοὺς καὶ τὸν Δία τοῦ*) Κρόνου λέγεσθαι νομίσωμεν υἱόν· νοῦς γὰρ ὢν δημιουργικὸς ὁ Ζεὺς ἄλλου νοῦ πρόεισιν ὑπερτέρου καὶ ἑνοειδεστέρου, πληθύοντος μὲν τὰς οἰκείας νοήσεις, τὸ δὲ πλῆθος εἰς ἕνωσιν ἐπιστρέφοντος, καὶ πολλαπλασιάζοντος μὲν τὰς νοερὰς δυνάμεις, εἰς δὲ τὴν ἀμέριστον ταυτότητα τὰς παντοίας ἀνελίξεις αὐτῶν ἀνάγοντος, προσεχῆ δὲ τὴν κοινωνίαν πρὸς αὐτὸν ἐνστησάμενος, καὶ πληρούμενος ἀπ' αὐτοῦ τῶν νοερῶν ἀγαθῶν ὅλως. Εἰκότως καὶ λέγεται τοῦ Κρόνου παῖς ἔν τε ὕμνοις καὶ ἐν ἐπικλήσεσιν, ὡς ἀνεκφαίνων τὸ κρύφιον καὶ ἀναπλῶν τὸ συνεσπειραμένον, καὶ διαιρῶν τὸ ἀμέριστον τῆς Κρονίας μονάδος, καὶ δευτέραν βασιλείαν μερικωτέραν ἀντὶ ὁλικωτέρας, καὶ δημιουργικὴν ἀντὶ πατρικῆς, καὶ πανταχοῦ προϊοῦσαν ἀντὶ τῆς σταθερῶς ἐν ἑαυτῇ μενούσης προβαλλόμενος.

ργ'. Διὰ τί ὁ Σωκράτης ὑβριστικὸν ὑπέλαβεν εἶναι τὸ ὄνομα τοῦ βασιλέως Κρόνου[230]), καὶ πρὸς τί ἀποβλέψας ταύτην ἀφῆκε τὴν φωνήν; ἢ τὸν κόρον

---

*) Cf. Cratyl. §. 29.

230) Cratyl. §. 29.

ὕβρεως αἴτιον εἶναί φασιν οἱ ποιηταὶ, τὴν ἀμετρίαν καὶ τὴν πλησμονὴν οὕτως προσαγορεύοντες, „ὕβριν γὰρ," φασὶ*), „τίκτει κόρος." Εἰ οὖν τις ἀνεπισκέπτως ἐπιβάλοι τῷ ὀνόματι τοῦ Κρόνου, ὑβριστικὸν αὐτὸ δόξει εἶναι, τὸν γὰρ κεκορημένον καὶ πεπληρωμένον δηλοῖ τῷ ἐξαίφνης ἀκούοντι. Διὰ τί οὖν, εἰ καὶ ὑβριστικὸν**) ἦν τὸ τοιοῦτον ὄνομα, οὐκ εὐφήμως καὶ πρεπούσῃ θεοῖς σιγῇ τοῦτο παρέδραμεν; ἢ ὅτι τῆς βασιλικῆς τῶν θεῶν σειρᾶς ἀρχομένης μὲν ἀπὸ Φάνητος, καταντώσης δ' εἰς τὸν δεσπότην ἡμῶν τὸν Διόνυσον, καὶ τὸ αὐτὸ σκῆπτρον ἄνωθεν ἄχρι τῆς ἐσχάτης βασιλείας προαγούσης, μόνος ὁ Κρόνος, τὴν τετάρτην βασιλικὴν τάξιν κληρωσάμενος παρὰ πάντας τοὺς ἄλλους, ὑβριστικῶς δοκεῖ κατὰ τὸ μυθικὸν πρόσχημα προσδέχεσθαι καὶ ἐκ τοῦ Οὐρανοῦ τὸ σκῆπτρον, καὶ μεταδιδόναι τῷ Διΐ· καὶ γὰρ ἡ Νὺξ παρ' ἑκόντος αὐτὸ λαμβάνει τοῦ Φάνητος· „σκῆπτρον δ' ἀριδείκετον εἷο χέρεσσιν***) ἔθηκεν θεᾶς Νυκτὸς βασιληΐδα τιμήν." Καὶ ὁ Οὐρανὸς παρὰ τῆς Νυκτὸς ἑκούσης ὑποδέχεται τὴν ἐπικράτειαν τῶν ὅλων· καὶ ὁ Διόνυσος τελευταῖος θεῶν βασιλεὺς παρὰ τοῦ Διός· ὁ γὰρ πατὴρ ἱδρύει τε αὐτὸν ἐν τῷ βασιλείῳ θρόνῳ καὶ ἐγχειρίζει τὸ σκῆπτρον, καὶ βασιλέα ποιεῖ τῶν ἐγκοσμίων ἁπάντων θεῶν·

Κλῦτε, θεοί· τόνδ' ὔμμιν ἐγὼ βασιλῆα τίθημι,

λέγει πρὸς τοὺς νέους θεοὺς ὁ Ζεύς. Μόνος δ' ὁ Κρόνος καὶ ἀφαιρεῖται τὸν Οὐρανὸν τὴν βασιλείαν τελέως, καὶ τῷ Διῒ παραχωρεῖ τῆς ἡγεμονείας, τέμνων καὶ τεμνόμενος, ὥς φησιν ὁ μῦθος. Ἐπεὶ τοίνυν τὴν τοιαύτην διαδοχὴν ὑβριστικὴν οὖσαν ἐπὶ Κρόνου λεγομένην ἑώρα ὁ Πλάτων παρὰ τοῖς θεολόγοις, μνήμης ἠξίωσε καὶ τὴν ἐν τῷ ὀνόματι φαντασίαν τῆς

---

*) Theognis 153. Cf. notata ad Basilii Scholia in Notitiis Msstorum t. XI. part. II.

**) Ab *διὰ τί οὖν* usque ad *ὁ μῦθος* descripsit Werfer in Actis Monac. l. c. cum aliqua varietate.

***) Codd. *χέρεσιν*.

ὕβρεως, ἵνα καὶ ταύτῃ προσῆκον ἀποφαίνῃ τὸ ὄνομα τῷ θεῷ *) καὶ εἰκόνα φέρον τῆς περὶ ἐκεῖνον μυθευομένης ὕβρεως, ἡμᾶς δ' ἀναδιδάξῃ καὶ τὰ μυθικὰ πλάσματα πρὸς τὴν ἀλήθειαν ἐπανάγειν, ὡς προσήκει περὶ θεῶν, καὶ τὴν φαινομένην τερατολογίαν εἰς ἐπιστημονικὴν ἔννοιαν ἀναπέμπειν.

ρδ'. Ὅτι τὸ μέγα 231) ἐπὶ τῶν θεῶν οὐ διαστατῶς, ἀλλὰ νοερῶς ἀκουστέον, καὶ κατὰ τὴν τῆς αἰτίας δύναμιν, ἀλλ' οὐ κατὰ τὴν μεριστὴν ὑπεροχήν· ἀλλὰ διὰ τί τὸν Κρόνον διάνοιαν νῦν καλεῖ 232); ἢ εἰς τὸ πλῆθος ἀπιδὼν τῶν ἐν αὐτῷ νοήσεων, καὶ τὰς τάξεις τῶν νοητῶν τὰς ἐν αὐτῷ περιεχομένας καὶ τὴν ἀνέλιξιν τῶν εἰδῶν, ἐπεὶ καὶ ἐν ἄλλοις τὸν δημιουργικὸν νοῦν λογίζεσθαί φησι, καὶ διανοούμενον ποιεῖν τὸν κόσμον, εἰς τὰς μεριστὰς αὐτοῦ καὶ διῃρημένας ἀποβλέπων νοήσεις, καθ' ἃς οὐ τὰ 233) ὅλα μόνον, ἀλλὰ καὶ τὰ μέρη δημιουργεῖ. Ἀλλ' ὅταν μὲν ὁ Κρόνος νοῦς λέγηται, διανοίας ἐπέχει τάξιν ὁ Ζεὺς, ὅταν δ' αὖ 234) Κρόνος διάνοια, πάντως ποῦ πρὸς ἄλλον τινὰ νοῦν ὑπέρτερον κατ' ἀναλογίαν φήσομεν οὕτως καλεῖσθαι. Εἴτ' οὖν τὸν νοητὸν καὶ κρύφιον νοῦν λέγειν ἐθέλοις, εἴτε τὸν ἐκφαντορικὸν, εἴτε τὸν συνεκτικὸν, εἴτε τὸν τελεσιουργὸν, εἴη ἂν ὁ Κρόνος διάνοια πρὸς τούτους ἅπαντας. Τὴν γὰρ ἡνωμένην νόησιν εἰς πλῆθος προάγει καὶ πεπλήρωκεν ἑαυτὸν τῶν ἐπίπαν διεγειρομένων νοητῶν· ὅθεν δὴ καὶ ἡγεμὼν εἶναι λέγεται τοῦ Τιτανικοῦ γένους, καὶ διακρίσεως παντοίας ἔξαρχος καὶ τῆς ἑτεροποιοῦ δυνάμεως. Καὶ τάχ' ἂν ὁ Πλάτων ἐν τούτοις τοῦ τῶν Τιτάνων ὀνόματος διττὰς ἐξηγήσεις ἡμῖν ἀρχαειδεῖς παραδίδωσιν, ἃς Ἰάμβλιχός τε καὶ Ἀμέλιος ἀναγέγραφεν· Τιτᾶνας

*) AB, τῶν θεῶν. Iam nescio, utrum τῷ θεῷ scripserim e Vaticano, an e conjectura.

231) Cf. Cratyl. §. 29. Statim V διστατῶς.

232) Cratyl. §. 29.

233) Codd. αὐτά. Statim καὶ habet V solus.

234) V, ὅταν δ' οὖν.

γὰρ ὁ μὲν παρὰ τὸ διατείνειν ἐπὶ πάντα τὰς ἑαυτῶν δυνάμεις, ὁ δὲ, παρὰ τὸ τὶ ἄτομον κέκληται, φησὶν, ὡς τοῦ μεριστοῦ καὶ τῆς διακρίσεως τῶν ὅλων εἰς τὰ μέρη[235]) τὴν ἀρχὴν ἐκ τούτων λαμβανούσης. Ὁ γοῦν Σωκράτης νῦν ταῦτα ἀμφότερα ἐνδείκνυται, μεγάλην τινὰ προσειπὼν τὴν διάνοιαν τοῦ βασιλέως τῶν Τιτάνων· τὸ μὲν γὰρ μ έ γ α τῆς ἐπὶ πάντα διηκούσης ἐστὶ δυνάμεως, τὸ δὲ τ ι ν ὰ τῆς ἄχρι τῶν μερικωτάτων προϊούσης.

ρέ. Ὅτι τὸ Κρόνος ὄνομα τριχῶς ἀναλύεται νῦν· ὧν ἡ μὲν*) πρώτη λέγουσα αὐτὸν εἶναι πλήρωμα τῶν νοερῶν ἀγαθῶν καὶ κόρον εἶναι τοῦ θείου νοῦ, τὸ[236]) ἔμφασιν ἔχειν τὸν ὑπὸ τῶν πολλῶν κακιζόμενον κόρον καὶ πλησμονὴν, ὡς ὑβριστικὴ ἐκβάλλεται· ἡ δὲ δευτέρα τὸν ἀτελῆ καὶ παιδαριώδη ἐμφαίνουσα, ὡσαύτως ἐκβάλλεται· ἡ δὲ τρίτη καθαρότητος μεστὸν καὶ ἀχράντου νοήσεως καὶ ἀμειλίκτου ζωῆς προστάτην ἀνυμνοῦσα, εὐδοκιμεῖ. Νοῦς γάρ ἐστιν ὁ βασιλεὺς Κρόνος καὶ πάσης νοερᾶς ζωῆς ὑποστάτης, ἀλλὰ νοῦς ἐξῃρημένος τῆς πρὸς τὰ αἰσθητὰ συντάξεως, καὶ ἄϋλος καὶ χωριστὸς, αὐτὸς εἰς ἑαυτὸν ἐπεστραμμένος, ὅςγε καὶ τοὺς ἀπ' αὐτοῦ προκύψαντας εἰς ἑαυτὸν αὖθις ἐπέτρεψεν καὶ ἐνεκολπίσατο, καὶ ἐν ἑαυτῷ σταθερῶς ἵδρυσεν. Ὁ μὲν γὰρ δημιουργὸς τοῦ παντὸς, εἰ καὶ νοῦς ἐστὶ θεῖος, ἀλλὰ διακοσμεῖ τὰ αἰσθητὰ καὶ προνοεῖ τῶν καταδεεστέρων· ὁ δὲ μέγιστος Κρόνος ἐν νοήσεσιν οὐσίωται χωρισταῖς καὶ τῶν ὅλων ὑπερεχούσαις·

— οὐ γὰρ ἐς ὕλην
Πῦρ ἐπέκεινα τὸ πρῶτον ἑὴν δύναμιν κατακλίνει,

φησὶ τὸ λόγιον. Τούτου δ' ἐξήρτηται καὶ ἀπὸ τούτου πρόεισιν ὁ δημιουργὸς νοῦς ὑπάρχων, περὶ τὸν

---

235) V, μέρη τῶν ὅλων.
*) AB, ὧ μὴ μέν.
236) f. τῷ.

ἄϋλον νοῦν καὶ περὶ αὐτὸν ὡς νόητον ἐνεργῶν, καὶ τὸ κρύφιον αὐτοῦ προάγων εἰς τὸ ἐμφανές. Νοῦ γὰρ νοῦς ἐστὶν ὁ τοῦ κόσμου ποιητὴς, καί μοι δοκεῖ τῶν νοητῶν[237]) ἰδίως καλουμένων θεῶν ἀκρότατος ὢν ὁ Κρόνος· νοῦς μὲν, ὡς πρὸς τὸ νοητὸν γένος εἶναι τῶν θεῶν· πάντες γὰρ οἱ νοεροὶ τῶν νοητῶν ἀντέχονται καὶ συνάπτονται ἐκείνοις διὰ τῶν νοήσεων·

Οἱ τὸν ὑπέρκοσμον πατρικὸν βυθὸν ἴστε νοοῦντες, λέγει πρὸς αὐτοὺς ὁ ὕμνος*)· νοητὸς δὲ, ὡς πρὸς τοὺς νοεροὺς πάντας. Ταύτην τοίνυν τὴν μεριστὴν αὐτοῦ καὶ ἀμέθεκτον ὑπεροχὴν ἡ καθαρότης ἐνδείκνυται· τὸ γὰρ ἀνέπαφον τῆς ὕλης καὶ τὸ ἀμέριστον καὶ τὸ ἄσχετον διὰ τοῦ καθαροῦ σημαίνεται. Τοσαύτη γάρ ἐστιν ἡ τοῦ θεοῦ τούτου πάσης τῆς πρὸς τὰ καταδεέστερα συντάξεως ὑπερβολὴ, καὶ ἡ πρὸς τὸ νοητὸν ἄχραντος ἕνωσις, ὥστε μηδὲ τῆς Κουρητικῆς αὐτῶν δεῖσθαι φρουρᾶς, ὥσπερ τὴν Ῥέαν καὶ τὸν Δία καὶ τὴν Κόρην· πάντες γὰρ οὗτοι διὰ τὰς εἰς τὰ δεύτερα προόδους τῆς ἀτρέπτου φυλακῆς τῶν Κουρήτων ἐδεήθησαν· ὁ δὲ Κρόνος ἐν ἑαυτῷ μονίμως ἱδρυμένος καὶ ἀφ᾽ ὅλων τῶν δευτέρων ἁρπάσας ἑαυτὸν, τῆς παρὰ τῶν Κουρήτων ὑπερίδρυται φρουρᾶς, ἔχει δὲ καὶ τούτων ἑνοειδῶς ἐν ἑαυτῷ τὴν αἰτίαν· τὸ γὰρ καθαρὸν τοῦτο καὶ τὸ ἄχραντον ὑπόστασιν παρέχεται πάσαις ταῖς τῶν Κουρήτων προόδοις. Διὸ καὶ ἐν τοῖς λογίοις τὴν πρωτίστην πηγὴν τῶν ἀμειλίκτων λέγεται περιέχειν, ἐποχεῖσθαι δὲ τοῖς ἄλλοις ἅπασιν**)

Νοῦς πατρὸς ἀραιοῖς ἐποχούμενος ἰθυντῆρσιν
Ἄκναπτον στράπτουσιν ἀμειλίκτου πυρὸς ὁλκοῖς.

---

237) VB, νοερῶν.

*) Procli ipsius, ut videtur, hymnus. Scripsi ὑπέρκοσμον pro lectione codicum ὑπερκόσμιον.

**) Hinc Collectioni Oraculorum Chald. inseruit Taylor in Class. Valpyii Ephem. t. 17, pag. 246. Exhibet ἀκνάμπτου ἀστράπτ. B, αἴγναπτον.

Ἔστι δ' οὖν καθαρὸς νοῦς ὡς καὶ τῆς ἀχράντου τάξεως ὑποστάσης καὶ τῆς νοερᾶς ὅλης διακοσμήσεως ἡγεμών·

„Τοῦδε γὰρ ἐκθρώσκουσιν ἀμείλικτοί τε κεραυνοὶ
„Καὶ πρηστηροδόχοι κόλποι
„πατρὸς εὐγενοῦς ἑκάστης καὶ ὑπεζωκὸς πυρὸς ἄν-
„θος· ἡ δὲ κραταιὸν πνεῦμα πολλῶν πυρίων ἐπέκει-
„να[239].“ Ἅπασαν γὰρ συνελίσσει τὴν ἑβδομάδα τῶν πηγῶν, καὶ ὑφίστησιν ἀπὸ τῆς ἑνιαίας αὑτοῦ καὶ νοητῆς ἀκρότητος. Ἔστι γὰρ, ὥς φησι τὸ λόγιον, ἀμιστύλλευτος καὶ ἑνοειδὴς καὶ ἀδιαίρετος καὶ πασῶν συνοχεὺς τῶν πηγῶν, πάσας ἐπιστρέφων πρὸς ἑαυτὸν καὶ ἑνίζων καὶ χωριστὸς ὢν ἀπὸ πασῶν ἀχράντως· διὸ καὶ κορόνους ἐστὶν, ὡς νοῦς ἄϋλος καὶ καθαρὸς καὶ ἱδρύσας ἑαυτὸν ἐν τῇ πατρικῇ σιγῇ, καὶ πατὴρ πατέρων ἀνυμνούμενος. Ἔστιν οὖν ὁ Κρόνος πατὴρ καὶ νοητὸς, ὡς πρὸς τοὺς νοεροὺς θεούς.

ρϛ'. Ὅτι πᾶς νοῦς ἢ ἕστηκε καὶ ἔστι νοητὸς τότε ὡς κρείττων κινήσεως, ἢ κινεῖται καὶ ἔστι νοερὸς τότε, ἢ ἀμφότερα καὶ ἔστι τότε νοητὸς ἅμα καὶ νοερός. Καὶ ἔστιν ὁ μὲν πρῶτος, Φάνης, ὁ δὲ δεύτερος ὁ καὶ κινούμενος καὶ ἑστηκὼς, Οὐρανὸς, ὁ δὲ μόνον κινούμενος, Κρόνος.

ρζ'. Ὅτι τὸν Κρόνον διὰ τὸ ἀμέριστον αὐτοῦ καὶ ἑνιαῖον καὶ πατρικὸν καὶ ἀγαθουργὸν ἐν τοῖς νοεροῖς εἰς ταυτόν τινες ἄγουσι τῇ μιᾷ τῶν πάντων αἰτίᾳ

---

239) Verba oraculi divulsa. Pro *εὐγενοῦς*, A, *ἀγενοῦς*. B, *ἀγεννῦς*. Pro *ἑκάστης* legendum esse *Ἑκάτης*, patet e re, et e solenni permutatione, de qua cf. Cap. 170. Leg. quoque *ἠδὲ*, non *ἡ δέ*. Ad intelligentiam non parum facit Psellus Exposit. Orac. p. 114. Taylorus in Collect. Oracul. t. 17. p. 245. Ephemeridis Class. Valpyanae sic Oraculum exhibuit; sed utrum e conjectura, an e codice, nos non docuit: *Αὐτοῦ γὰρ ἐκθ. — κόλποι παμφεγγέος ἀλκῆς Πατρογενοῦς Ἑκάτης, καὶ — Ἠδὲ κρ. πν. πύλων πυρίων ἐπ.* Equidem in Codd. inveni *οὐδὲ*: scripsi *τοῦδε* e cap. 142.

οὐ καλῶς λέγοντες· ἀναλογεῖ*) γὰρ αὐτῇ μόνον, ὡς καὶ Ὀρφεὺς τὴν πρώτην πάντων αἰτίαν Χρόνον καλεῖ, ὁμωνύμως σχεδὸν τῷ Κρόνῳ, αἱ δὲ θεοπαράδοτοι φῆμαι τὴν θεότητα ταύτην τῷ ἅπαξ χαρακτηρίζουσιν, λέγουσαι „ἅπαξ ἐπέκεινα·“ τὸ γὰρ ἅπαξ τῷ ἑνὶ συγγενές.

ρη. Ὅτι ὁ τοῦ Κρόνου πατὴρ Οὐρανὸς[240]) νοῦς ἐστὶ νοῶν μὲν καὶ ἑαυτὸν, ἡνωμένος δὲ τοῖς πρωτίστοις νοητοῖς καὶ ἱδρυμένος σταθερῶς ἐν ἐκείνοις καὶ συνεκτικὸς τῶν νοερῶν πάντων διακόσμων, τῷ μένειν ἐν τῇ ἑνώσει τῇ νοητῇ. Καὶ ἔστι συνεκτικὸς οὗτος ὁ θεὸς, ὥσπερ ὁ Κρόνος διακριτικὸς, καὶ διὰ τοῦτο πατήρ· προηγεῖται γὰρ τὰ συνοχικὰ αἴτια τῶν διακριτικῶν καὶ τῶν νοερῶν μόνων τὰ νοητὰ ἅμα καὶ νοερά. Ὅθεν δὴ καὶ ὁ Οὐρανὸς[241]) συνοχεὺς ὢν ὅλων κατὰ μίαν ἕνωσιν, ὑφίστησι τὴν Τιτανικὴν σειρὰν, καὶ πρὸ ταύτης ἄλλας διακοσμήσεις θεῶν, τὰς μὲν ἐν ἑαυτῷ μενούσας μόνον, ἃς δὴ καὶ κατέχει παρ᾿ ἑαυτῷ, τὰς δὲ μενούσας καὶ προϊούσας, ἃς δὴ μετὰ τὴν ἔκφανσιν ἀποκρύπτειν λέγεται, καὶ μετὰ ταύτας ἁπάσας τὰς ἐπὶ πᾶν προϊούσας καὶ διακρινομένας ἀπὸ τοῦ πατρός. Καὶ γὰρ μονάδας παράγει δισσὰς, καὶ τριάδας ἰσαρίθμους ταῖς μονάσι καὶ ἑβδομάδας[242])· ἀλλὰ ταῦτα μὲν ἐν ἄλλοις ἐπὶ πλέον ἐξήτασται.

ρθ΄. Ὠνόμασται δ᾿ οὕτως καθ᾿ ὁμοιότητα τοῦ φαινομένου οὐρανοῦ. Ἑκάτερος γὰρ αὐτῶν σφίγγει καὶ συνέχει τὰ ἐν αὐτοῖς περιεχόμενα πάντα, καὶ μίαν τὴν τοῦ ὅλου κόσμου ἀπεργάζονται συμπάθειαν καὶ συνέχειαν. Ἡ γὰρ συνέχεια δευτέρα τῆς ἑνοποιοῦ δυνάμεως καὶ ἀπ᾿ ἐκείνης πρόεισιν. Ἐν μὲν

---

*) Ab ἀναλογεῖ ad συγγενὲς exhibuit Werferus in Act. Monac. t. 2. p. 131.

240) Cratyl. §. 29.

241) AB, ὁ μὲν δὴ καὶ οὐρ.

242) Codd. ἑβδομάς.

οὖν τῷ Φαίδρῳ τὴν εἰς τὰ δεύτερα πάντα ποίησιν τοῦ οὐρανοῦ παραδίδωσιν, καὶ ὅπως διὰ τῆς ἀναφορᾶς ἀνάγει πάντα καὶ συνελίσσει πρὸς τὸ νοητὸν, καὶ τίς μὲν η ἐν αὐτῷ ἀκρότης, τί δὲ τὸ βάθος τῆς ὅλης αὐτοῦ διακοσμήσεως, τί δὲ τὸ πέρας τῆς προόδου πάσης· ἐνταῦθα δ' ἀπὸ τῶν ὀνομάτων τὴν ἐν τοῖς πράγμασιν ἀλήθειαν μεταδιώκων, τὴν ἐνέργειαν αὐτοῦ τὴν πρὸς τὰ ὑψηλότερα καὶ ἁπλούστερα καὶ ἐγγυτέρω τοῦ ἑνὸς τεταγμένα ἐκφωνεῖ, καὶ ἔοικε σαφῶς ἐν τούτοις ἐξηγεῖσθαι τὴν τοῦ οὐρανοῦ τάξιν νοητὴν οὖσαν καὶ νοεράν. Εἰ γὰρ ὁρᾷ τὰ ἄνω*), νοερῶς ἐνεργεῖ καὶ ἔστι πρὸ αὐτοῦ τὸ νοητὸν γένος τῶν θεῶν, πρὸς ὃ βλέπων νοερός ἐστιν, ὥσπερ τοῖς ἀπ' αὐτοῦ προϊοῦσι νοητός. Τίνα δ' οὖν ἐστὶν αὐτοῦ ἄνω; ἢ δῆλον ὡς ὁ ὑπερουράνιος τόπος καὶ ἀχρώματος καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία, καὶ πᾶν τὸ νοητὸν πλάτος, ὡς μὲν ἂν ὁ Πλάτων εἴποι, τά τε νοητὰ ζῶα περιέχων καὶ τὴν μίαν τῶν αἰωνίων πάντων αἰτίαν, καὶ τὰς κρυφίους τούτων ἀρχὰς, ὡς δ' ἂν**) οἱ Ὀρφικοὶ φαῖεν, ἄνωθεν μὲν ὁριζόμενος τῷ αἰθέρι, κάτωθεν δὲ τῷ Φάνητι· πάντα γὰρ τὰ μεταξὺ τούτων συμπληροῖ τὸν νοητὸν διάκοσμον. Τοῦτον δ' ἑνικῶς καὶ πληθυντικῶς καλεῖ νῦν, ἐπειδὴ καὶ ἥνωται πάντα ἐκεῖ ἅμα καὶ διακέκριται ἰδίως ἕκαστον κατ' ἄκραν ἕνωσίν τε καὶ διάκρισιν. Μετεωρολόγους[243]) δὲ νῦν ἀκουστέον οἰκείως τοὺς ἀναγωγὸν βίον ἑλομένους καὶ νοερῶς ζῶντας, καὶ μὴ ὄντας ἐμβριθεῖς καὶ ὀπισθοβαρεῖς, ἀλλὰ πρὸς τὸ ἄναντες τοῦ θεωρητικοῦ βίου μετεωριζομένους. Ἡ γὰρ ἐκεῖ λεγομένη γῆ μητρικῶς ὑφίστησιν ὅσα ὁ οὐρανὸς πατρικῶς ὁ ταύτῃ σύστοιχος, καὶ ὁ ἐκεῖ ἐνεργῶν οἰκείως λέγοιτ' ἂν μετεωρολόγος. Ὁ γοῦν οὐρανὸς συνεκτικῆς ὢν φύσεως ὑπερήπλωται μὲν καὶ τῶν Κρονίων διακόσμων καὶ πά-

---

*) Cratyl. §. 29.

**) Apud Werfer. ibid. p. 133. ab ὡς δ' ἂν usque ad Φάνητι.

243) Cratyl. §. 29.

σης τῆς νοερᾶς ὑποστάσεως, καὶ παράγει ἀφ' ἑαυτοῦ πᾶσάν τε τὴν Τιτανικὴν γένεσιν, καὶ πρό γε ταύτης τὴν τελεσιουργὸν καὶ τὴν φρουρητικὴν, καὶ ὅλως πάντων τῶν ἀγαθῶν ἐξηγεῖται τοῖς νοεροῖς θεοῖς· καὶ ἐπειδὴ τὸν Κρόνον διὰ τῆς ἀσχέτου πρὸς τὰ ἐγκόσμια νοήσεως ἀνύμνησεν, καὶ τῆς εἰς τὴν ἑαυτοῦ περιοπὴν ἐπεστραμμένης ζωῆς, τὸν οὐρανὸν δι' ἄλλης ἐνεργείας τελεωτέρας ἀνευφημεῖ. Τὸ γὰρ τοῖς ὑψηλοτέροις συνάπτεσθαι τοῦ πρὸς ἑαυτὸν ἐπεστράφθαι [244]) μεῖζόν ἐστιν ἀγαθόν. Μηδεὶς δ' οἰέσθω διὰ ταῦτα μεμερισμένας εἶναι τὰς ἐνεργείας τὰς εἰρημένας ἐν τοῖς θεοῖς, οἷον, ἐν μὲν τῷ Διῒ μόνην τὴν πρόνοιαν, ἐν δὲ τῷ Κρόνῳ τὴν πρὸς ἑαυτὸν στροφὴν μόνην, ἐν δὲ τῷ Οὐρανῷ τὴν πρὸς τὸν νοητὸν μόνην ἀνάστασιν· καὶ γὰρ ὁ Ζεὺς οὐκ ἄλλως προνοεῖ τῶν ἐγκοσμίων ἢ πρὸς τὸ νοητὸν βλέπων· „ᾗπερ [245]) οὖν νοῦς ἐνούσας ἰδέας ἐν τῷ ὅ ἐστι ζῶον ὅσαι τέ εἰσιν καὶ ὁποῖαι καθορᾷ“ φησὶν ὁ Τίμαιος· ὡς δ' Ὀρφεὺς ἐνθέῳ στόματι λέγει, καὶ καταπίνει [246]) τὸν πρόγονον αὐτοῦ τὸν Φάνητα καὶ ἐγκολπίζεται πάσας αὐτοῦ τὰς δυνάμεις ὁ Ζεὺς, καὶ γίνεται πάντα νοερῶς ὅσαπερ ἦν ἐκεῖνος νοητῶς, καὶ ὁ Κρόνος πάσης τῆς δημιουργίας ἐνδίδωσι [247]) τῷ Διῒ τὰς ἀρχὰς καὶ τῆς εἰς τὰ αἰσθητὰ προνοίας, καὶ ἑαυτὸν νοῶν ἥνωται τοῖς πρωτίστοις νοητοῖς καὶ πεπλήρωται τῶν ἐκεῖθεν ἀγαθῶν· διὸ καὶ τρέφεσθαί φησιν αὐτὸν ὁ Θεολόγος ὑπὸ τῆς Νυκτὸς,

Ἐκ πάντων δὲ Κρόνον Νὺξ ἔτρεφεν ἠδ' ἀτίταλλεν.

Εἰ οὖν τροφὴ τὸ νοητὸν, διακορὴς ἐστιν ὁ Κρόνος, οὐ μόνον τῶν συστοίχων αὐτῷ νοητῶν, ἀλλὰ καὶ τῆς τῶν ἀκροτάτων καὶ κρυφίων νοήσεων. Καὶ δὴ καὶ αὐτὸς ὁ Οὐρανὸς πάντα μὲν τὰ δεύτερα πληροῖ τῶν οἰκείων ἀγαθῶν, πάντα δὲ φρουρεῖ ταῖς ἀκμαιοτά-

---

244) V, ἐπεστράφαι. AB, ἐπεστράπται.

245) VB, ἥπερ. A, ἥπερ. Verba sunt Platonis in Timaeo § 24

246) Cf. Orph. fragm. VI. p. 456. Herm.

247) V, ἐκδίδωσι.

ταις ἑαυτοῦ δυνάμεσιν, καὶ τὰς ἀειζώους αὐγὰς αὐτῷ παρέδωκε συνέχειν καὶ φρουρεῖν ἄνωθεν ὁ πατήρ· νοεῖ δ' ἑαυτὸν καὶ ἐπέστραπται πρὸς τὰ ἐν ἑαυτῷ νοητά· καὶ τὴν νόησιν αὐτοῦ ταύτην περιφορὰν ὁ Πλάτων* ἐν τῷ Φαίδρῳ προσείρηκεν· ὡς γὰρ τὸ κύκλῳ κινούμενον περὶ τὸ ἑαυτοῦ κινεῖται κέντρον, οὕτως καὶ ὁ οὐρανὸς περὶ τὸ ἑαυτοῦ νοητὸν ἐνεργεῖ κατὰ τὴν νοερὰν περιφοράν. Ἀλλὰ πάντων ὄντων ἐν πᾶσι καὶ ἑκάστου πάσας ἔχοντος τὰς ἐνεργείας, ἄλλος κατ' ἄλλην ἐξέχει καὶ κατὰ ταύτην χαρακτηρίζεται διαφερόντως· ὁ μὲν Ζεὺς κατὰ τὴν πρόνοιαν, διὸ καὶ οὕτως ἀναλέλυται αὐτοῦ τὸ ὄνομα νῦν· ὁ δὲ Κρόνος κατὰ τὴν εἰς ἑαυτὸν στροφὴν (ὅθεν καὶ**) ἀγκυλομήτης)· διὸ καὶ τὴν ὀρθότητα τοῦ ὀνόματος οὕτως ἐποιούμεθα· ὁ δὲ Οὐρανὸς κατὰ τὴν πρὸς τὰ κρείττονα σχέσιν, ἀφ' ἧς καὶ τὴν προσηγορίαν ἔσχεν, ἐπεὶ καὶ τὸ ὑφιστάνειν αὐτὸν τὸν καθαρὸν καὶ Κρόνιον νοῦν τὴν ἐπιθάτερα αὐτοῦ παρίστησιν ἐνέργειαν. Πολλῶν δ' οὐσῶν ἐν τῷ Οὐρανῷ δυνάμεων, οἷον, συνεκτικῶν, φρουρητικῶν, ἐπιστρεπτικῶν, εὕροις ἂν πάσαις ἐφαρμόζον τὸ ὄνομα τοῦτο οἰκείως· τό τε γὰρ συνεκτικὸν διὰ τοῦ τοὺς νοεροὺς ὁρίζειν θεοὺς σημαίνεται (τὸ γὰρ συνεκτικὸν, ὁριστικὸν τοῦ ἐν αὐτῷ πλήθους)· καὶ τὸ φρουρητικὸν τῶν ὅλων, διὰ τὸ τῆς νοερᾶς οὐσίας οὖρον καὶ ἀσφάλειαν ὑπάρχειν αὐτά· καὶ τὸ ἐπιστρεπτικὸν, διὰ τὸ πρὸς τὰ ἄνω τὰ ὁρῶντα καὶ νοοῦντα ἐπιστρέφειν· ταῦτα δὲ πάντα τῷ οὐρανῷ οἰκεῖα. Οὐ γὰρ φόβος, μὴ διασκεδασθῶσιν οἱ θεοὶ, ἵνα δέωνται τῶν συνεκτικῶν αἰτίων, ἢ μεταβολὴν ὑπομείνωσιν, ἵνα ὑπὸ τῶν φρουρητικῶν σώζωνται[248]· ἀλλὰ διὰ τῆς ἐπιστρεπτικῆς ἐνεργείας ὁμοῦ πάντα νῦν ὁ Σωκράτης ἐδήλωσεν· τοῦτο γάρ ἐστι τὸ τὰ ἄνω ὁρᾶν, τὸ πρὸς αὐτὰ ἐπε-

*) Plato Phaedr. §. 59.
**) Homero Il. 4. 59. Cf. c. 114.

248) V, σώζονται (ω superscr.). AB, σώζονται.

στράφθαι*), καὶ διὰ τοῦτο συνέχεσθαι καὶ φρουρεῖσθαι. Καί μοι δοκεῖ καὶ ταύτην τὴν ἰδιότητα ἔχειν ὁ οὐρανὸς κατὰ τὴν πρὸς τὸν νοητὸν αἰῶνα καὶ τὴν νοητὴν ὁλότητα ἀναλογίαν· καὶ γὰρ τὸν αἰῶνα ὁ Τίμαιος τούτῳ**) διαφερόντως ἐχαρακτήρισεν, τῷ μένειν ἐν τῷ πρὸ αὐτοῦ ἑνὶ καὶ τῷ ἐνιδροῦσθαι τῇ ἀκρότητι τῶν νοητῶν, καὶ τὸν οὐρανὸν ὁ Σωκράτης τῷ ὁρᾷν τὰ ἄνω***), δηλαδὴ τὸν ὑπερουράνιον τόπον, καὶ ὅσα τῇ θεοθρέμμονι σιγῇ †) περιείληπται τῶν πατέρων. ὥσπερ οὖν ὁ Παρμενίδης διὰ τῆς ὁλότητος ἑκατέραν τῶν τάξεων τούτων ἐσήμανεν, τὴν μὲν διὰ τῆς νοητῆς, τὴν δὲ διὰ τῆς νοερᾶς, οὕτως ἄρα καὶ διὰ τῆς πρὸς τὰ κρείττονα στροφῆς ὅ, τε Τίμαιος καὶ ὁ Σωκράτης αὐτὸν ἐκφαίνουσιν. Ἀλλ' ἡ στροφὴ διάφορος ὥσπερ καὶ ἡ ὁλότης· νοητὴ μὲν γὰρ ἡ τοῦ αἰῶνος, διόπερ ἐκεῖνον οὐχ ὁρᾷν εἶπε τὸ πρὸς ἑαυτοῦ νοητὸν ὁ Τίμαιος, ἀλλὰ μένειν σταθερῶς μόνον· νοερὰ δ' ἡ τοῦ οὐρανοῦ, καὶ διὰ τοῦτό φησιν αὐτὸν ὁ Σωκράτης ὁρᾷν τὰ ἄνω, καὶ διὰ τὸ αὐτόν τε ἐπιστρέφειν καὶ φρουρεῖν καὶ συνέχειν καὶ τὰ μετ' αὐτὸν πάντα, ὅθεν καὶ ἐν τῷ Φαίδρῳ ††) τῇ ἑαυτοῦ περιφορᾷ λέγεται πάντα περιάγειν εἰς τὸν ὑπερουράνιον τόπον, καὶ τὴν τῶν πρωτίστων νοητῶν περιωπὴν 249).

ρί. Ὅτι τριῶν ὄντων τούτων πατέρων τε καὶ βασιλέων, ὧν καὶ ὁ Σωκράτης ἐν τούτοις πεποίηται μνείαν, μόνος ὁ Κρόνος δοκεῖ βιαίως καὶ λαμβάνειν τὴν ἀρχὴν παρὰ τοῦ σφετέρου πατρὸς καὶ διδόναι τῷ μετ' αὐτόν. Θρυλλοῦσι γοῦν οἱ μυθοστάται οὐρανίας τομὰς καὶ Κρονίας λέγοντες. Τὸ

*) AB, ἐπιστράφθαι.
**) Platon. Tim. §. 21.
***) Cratyl. § 29.
†) Verba θεοθρ. σ. habet ex hymno aliquo vel oraculo.
††) Phaedr. §. 57. 58.
249) AB, τῇ — περιοπῇ.

δ' αἴτιον, ὅτι συνεκτικῆς μὲν ἐστι τάξεως ὁ οὐρανὸς, Τιτανικῆς δ' ὁ Κρόνος, δημιουργικῆς δ' ὁ Ζεύς· τὸ δ' αὖ Τιτανικὸν γένος διακρίσεσι χαίρει καὶ ἑτερότησι, προόδοις τε καὶ πολλαπλασιασμοῖς τῶν δυνάμεων. Ὁ τοίνυν Κρόνος, ὡς διαιρετικὸς θεὸς, χωρίζει τὴν ἑαυτοῦ βασιλείαν ἀπὸ τῆς τοῦ Οὐρανοῦ, ὡς δὲ νοῦς καθαρὸς, ἐξῄρηται τῆς εἰς τὴν ὕλην ποιήσεως· διὸ καὶ τὸ δημιουργικὸν γένος πάλιν ἐπ' αὐτοῦ διακρίνεται. Ἐφ' ἑκάτερα δ' οὖν ἡ τομὴ αὕτη· καθόσον μὲν γάρ ἐστι Τιτὰν, τῶν συνεκτικῶν αἰτίων ἀποτέτμηται· καθόσον δ' οὐ δίδωσιν ἑαυτὸν τῇ εἰς ὕλην δημιουργίᾳ, τοῦ δημιουργοῦ Διὸς ἀποτέτμηται.

ρια'. Ὅτι οὐρανὸν ἀκουστέον νῦν τὴν τῶν ὁλικῶν θεῶν μέσην τριάδα, νοητὴν ἅμα καὶ νοερὰν ὑπάρχουσαν, ἧς τὸ μὲν ἀκρότατον ὑπερουράνιος τόπος καλεῖται καὶ πρώτιστος ἀριθμὸς, τὸ δὲ γόνιμον καὶ θῆλυ τῶν θεῶν γένος ἐνταῦθά ἐστι καὶ τὸ φρουρητικόν· τὸ δὲ μέσον οὐρανοῦ περιφορὰ καλεῖται καὶ ὁλότης νοερὰ, καὶ ἔστιν ἐν αὐτῇ τὸ συνεκτικὸν τῶν θεῶν γένος· τὸ δὲ τελευταῖον ὑπουράνιος ἀψὶς καλεῖται, καὶ ἔστιν ἐν αὐτῇ τὸ τελεσιουργὸν καὶ ἐπιστρεπτικὸν τῶν θεῶν γένος.

ριβ'. Ὅτι ἔοικεν ὁ Πρόκλος τὸν ὑπερουράνιον τόπον ἐπὶ δύο διαφερόντων τῷ εἴδει διακόσμων τάττειν νῦν, ἐπί τε τοῦ φρουρητικοῦ νοῦ καὶ ἐπὶ τῶν μόνων νοητῶν θεῶν· καὶ ἴσως τὸ πέρας τῶν νοητῶν συνάπτων[250]) τῇ ἀκρότητι τῶν νοερῶν ἅμα καὶ νοητῶν, ταυτόν πως ὂν τῇ οὐσίᾳ καὶ αὐτῆς τῆς κλήσεως ἀξιοῦται· ὥσπερ εἴ τις τὴν ἄλογον δόξαν φαντασίαν προσαγορεύοι, ἢ τὸν νοῦν διάνοιαν, πρὸς ἄλλο καὶ ἄλλο βλέπων.

ριγ'. Τὸν οὖν ὑπερουράνιον τόπον, ἐφ' ὃν καὶ ὁ οὐρανὸς ἀνατείνει τὴν ἑαυτοῦ νοερὰν ζωὴν, οἱ μὲν ἀῤῥήτοις χαρακτηρίζουσι συμβόλοις, οἱ δὲ καὶ ὀνομά-

250) AB, συνάπτον.

σαντες ἄγνωστον ἀπέλιπον, μήτ᾽ εἶδος αὐτοῦ μήτε σχῆμα καὶ μορφὴν εἰπεῖν ἐξισχύσαντες, ἀνωτέρω δ᾽ ἔτι καὶ τούτου προελθόντες, τὸ πέρας τῶν νοητῶν θεῶν μόνον ὀνόματι δηλῶσαι δεδύνηνται, τὰ δ᾽ ἐπέκεινα δι᾽ ἀναλογίας μόνης, ἄῤῥητα ὄντα καὶ ἄληπτα, σημαίνουσιν· ἐπεὶ, καὶ παρ᾽ αὐτοῖς τοῖς νοητοῖς τῶν θεῶν, μόνος ὁ θεὸς οὗτος, ὁ συγκλείων[251]) τὸν πατρικὸν διάκοσμον, εἶναι λέγεται παρὰ τοῖς σοφοῖς ὀνομαστός· καὶ ἡ θεουργία μέχρι ταύτης ἄνεισι τῆς τάξεως. Ἐπεὶ τοίνυν τὰ πρὸ τοῦ οὐρανοῦ τοιαύτην ἔλαχεν ὑπερβολὴν τῆς ἑνοειδοῦς ὑποστάσεως, ὡς τὰ μὲν εἶναι ῥητά τε ἅμα καὶ ἄῤῥητα, καὶ φθεγκτὰ καὶ ἄφθεγκτα, καὶ γνωστὰ καὶ ἄγνωστα, διὰ τὴν πρὸς τὸ ἓν συγγένειαν, εἰκότως ὁ Σωκράτης ἐπέχει τὸν περὶ ἐκείνων λόγον, ὡς καὶ τῶν ὀνομάτων οὐ πάντη καταδράττεσθαι τῆς ὑπάρξεως αὐτῶν δυναμένων, καὶ ὅλως τοῦ διακρίνεσθαι τῆς ἐκείνων ὑπάρξεως ἢ δυνάμεως τό τε ῥητὸν καὶ ἄῤῥητον θαυμαστῆς τινὸς δεομένου πραγματείας. Αἰτιᾶται γοῦν τὴν μνήμην*), οὐ τοῖς μύθοις ἀπιστῶν τοῖς ἐπέκεινα τοῦ οὐρανοῦ τιθεμένοις, τινὰς πρεσβυτέρας αἰτίας καὶ οὐδὲν μνήμης ἀξίους αὐτοὺς νομίζων (αὐτὸς γὰρ ἐν Φαίδρῳ**) τὸν ὑπερουράνιον τόπον ἀνυμνεῖ), ἀλλ᾽ ὅτι μνημονευτὰ καὶ διὰ φαντασίας ἢ δόξης ἢ διανοίας γνωστὰ τὰ πρώτιστα τῶν ὄντων οὐκ ἂν γένοιτο· τῷ γὰρ ἄνθει***) τοῦ νοῦ καὶ τῇ ὑπάρξει τῆς οὐσίας ἡμῶν αὐτοῖς συνάπτεσθαι πεφύκαμεν, καὶ τῆς ἀγνώστου φύσεως αὐτῶν αἴσθησιν δι᾽ ἐκείνων λαμβάνομεν. Αὐτὸ δὴ οὖν τὸ ἐξῃρημένον αὐτῶν καὶ τῆς γνωστικῆς ἡμῶν καὶ τῆς μνημονευτικῆς ζωῆς αἴτιον εἶναί φησιν ὁ Σωκράτης τοῦ μὴ δι᾽ ὀνομάτων τάξεως ἐκεῖνα ὀνομάζειν· οὐδὲ γὰρ δι᾽ ὀνομάτων γνωρίζεσθαι πεφύκασιν, ἀλλὰ καὶ οἱ θεολόγοι πόῤῥωθεν αὐτὸ σημαίνουσι, καὶ τῆς τῶν φαινο-

251) AB, συγκλύων.

*) Cratyl. §. 29.

**) Phaedr. §. 59.

***) Cf. supra c. 96.

μένων πρὸς ἐκεῖνα ἀναλογίας· εἰ δ' ἦσαν ὀνομασταὶ καὶ διὰ γνώσεως ληπταὶ, καὶ περὶ ἐκείνων ἂν ἐποιησάμεθα τῆς ὀνομασίας λόγον.

ριδ'. Ὅτι Ὅμηρος οὐκ ἄνεισιν ἐπέκεινα τῆς Κρονίας διακοσμήσεως, ἀλλὰ, τὸ τοῦ δημιουργοῦ προσεχὲς αἴτιον ἀποφαινόμενος, Κρονίδην καλεῖ· τὰ δὲ σύστοιχα αὐτοῦ, Ἥραν καὶ Ποσειδῶνα καὶ Ἄρην· τὰ δ' ὑποβεβηκότα, „πατὴρ ἀνδρῶν τε θεῶν τε" φησί· τὸν δὲ Κρόνον οὔτ' ἐνεργοῦντα οὔτε ἐπιφθεγγόμενον[252]) εἰσάγει, ἀλλ' ὄντως ἀ γ κ υ λ ο μ ή τ η ν *), ὡς εἰς ἑαυτὸν ἐπεστραμμένον.

ριε'. Ὅτι**) ὁ μὲν Ὀρφεὺς πολὺ τῆς τῶν μύθων ἐξουσίας ἀπολέλαυκεν, καὶ πάντα τὰ πρὸ τοῦ οὐρανοῦ μέχρι τῆς πρωτίστης αἰτίας ὀνόμασιν ἐδήλωσεν, καὶ αὐτὸ τὸ ἄῤῥητον καὶ τῶν νοητῶν ἑνάδων ἐκβεβηκὸς, Χρόνον προσείρηκεν, εἴθ' ὅτι πάσης γενέσεως αἴτιον προϋπάρχων, εἴθ' ὅτι τὰ ὄντως ὄντα γινόμενα[253]) παραδιδοὺς, ἵνα τὴν τάξιν ἐνδείξηται αὐτῶν καὶ τὴν τῶν ὁλικωτέρων πρὸς τὰ μερικώτερα ὑπεροχὴν, ἵνα ᾖ ταυτὸν τὸ κατὰ χρόνον τῷ κατ' αἰτίαν, ὥσπερ ἡ γένεσις τῇ τεταγμένῃ προόδῳ· ὁ δέ γε Ἡσίοδος καὶ σιγῇ πολλὰ σέβει, καὶ τὸ πρῶτον ὅλως οὐκ ὠνόμασεν, ἀλλ' ὅτι μὲν τὸ μετ' ἐκεῖνο ἀπ' ἄλλου προῆλθεν, δηλοῖ διὰ τοῦ[254])·

Ἤτοι μὲν πρώτιστα Χάος ἐγένετο·

παντὶ γὰρ ἀδύνατον ἄνευ αἰτίου γένεσιν σχεῖν. Ἀλλὰ τίς ὁ ὑποστάτης τοῦ Χάους, οὐκ εἴρηκεν, ἀμφοτέρους δὲ τοὺς πατέρας τῶν νοητῶν, τόν τε ἐξῃρημένον καὶ τὸν συντεταγμένον, σεσιώπηκεν· ἄῤῥητοι γάρ εἰσι παν-

---

252) V, οὔτ' ἔτι φθ. Creuzer. qui in Melet. 1. p. 18. haec protulit ab τὸν δὲ Κρ. ad ἐπεστραμμ. habet οὔτε τι φθ.: bene.

*) Cf. c. 109.

**) Ab ὅτι ad προόδῳ descripsit Werfer. in Act. Monac. t. 2. p. 136.

253) V, τὰ ὄντα γενόμενα.

254) Theog. 116.

τελῶς. Ἀλλὰ καὶ ἐν τοῖς ἐφεξῆς τῶν δύο συστοιχιῶν[255]), τὰ μὲν τῷ ἑνὶ σύστοιχα σιωπῇ παραδίδωσι, τὰ δὲ τῇ ἀορίστῳ δυάδι μόνα διὰ τῆς γενεαλογίας ἐκφαίνει. Καὶ διὰ ταῦτα νῦν τὸν Ἡσίοδον[256]) μνήμης ἠξίωσε, τὸν τὰ πρὸ τοῦ οὐρανοῦ ὡς ἄῤῥητα ὄντα παραδραμόντα. Καὶ γὰρ τὰ λόγια περὶ ἐκείνων ὡς ἀφθέγκτων ἐνεδείξατο, καὶ προσέθηκε τὸ „σῖγ' ἔχε, μύστα*)." Καὶ αὐτὸς ἐν τῷ Φαίδρῳ τὴν νόησιν ἐκείνων μύησιν προσηγόρευσε καὶ ἐποπτείαν, ἐν οἷς πολὺ καὶ σχεδὸν τὸ πᾶν ἔργον ἄῤῥητον καὶ ἄγνωστόν ἐστιν.

ρις'. Ὅτι τοῦ περὶ θεῶν λόγου τριττοῦ ὄντος, τοῦ μὲν φανταστικοῦ, οἷος ἦν ὁ Εὐθύφρων**) μάχας καὶ ἐπιβουλὰς θεῶν ἀλόγως φανταζόμενος, τοῦ δ' ἐπιστημονικοῦ, οἷος ἦν Σωκράτης, τοῦ δὲ δοξαστικοῦ μεταξὺ τούτων, ὅστις καὶ ἀπὸ τῆς δόξης τοῦ ὀνοματοθέτου ἐπὶ τὰς οὐσίας τῶν θεῶν ἐπιστημονικῶς ἄνεισι καὶ ἔχει τινὰ καὶ πρὸς τὸν οἰησίσοφον Εὐθύφρονα φανταστικὴν κοινωνίαν· ὁ Σωκράτης ὁρῶν πολλοὺς, ὥσπερ τὸν Εὐθύφρονα, βοσκηματώδεις ἔχοντας περὶ θεῶν ἐννοίας, κάτεισι μὲν αὐτὸς ἀπὸ τῆς ἐπιστημονικῆς ἐνεργείας ἐπὶ τὰ καταδεέστερα, ἀνατείνει[257]) δὲ τοὺς τῇ φαντασίᾳ κατόχους ἐπὶ τὴν μέσην ἕξιν τῆς περὶ θεῶν ὑπολήψεως· καὶ διὰ τοῦτο αἰτιᾶται τούτου τὸν[258]) Εὐθύφρονα, οὐχ ὡς ἡγεμόνα τῆς γνώσεως ταύτης, ἀλλ' ὡς διὰ τῆς φανταστικῆς αὐτοῦ τερατολογίας ἀνεγείραντα τὸν Σωκράτην ἐπὶ τὴν ζήτησιν τῆς ἀληθείας.

---

255) V, στυχείων. B, συστοιχίων. Mox pro τὰ δέ, AB, τῷ δέ.

256) Cratyl. § 29.

*) Hoc Oraculum hinc retulit in Chaldaïcorum Oraculorum collectione, sed non sine mendo, Taylor. Class. Ephem. t. 17. p. 132.

**) Euthyphron Platonicus in Dialogo cognomine: cf. c. 6.

257) AB, ἀναστένει.

258) V, καὶ διὰ τούτου τόν. Cf. Cratyl. §. 34. 36.

ρις΄. Ὅτι ἔοικε τὰ τέλη τῆς προτέρας πανταχοῦ διακοσμήσεως συνάπτειν τοῖς πρωτίστοις τῆς δευτέρας. Ἀμέλει ὁ δεσπότης ἡμῶν Ἑρμῆς μονὰς ὢν ἀρχαγγελικὴ θεὸς ἀνυμνεῖται· ὁ δὲ Πλάτων πᾶν τὸ μεταξὺ πλάτος θεῶν τε καὶ ἀνθρώπων δαίμονας καλεῖ *)· καὶ οὗτοι μὲν φύσει, οἱ δὲ νῦν ἐκ τοῦ χρυσοῦ γένους δαίμονες μνημονευόμενοι καὶ οἱ ἡμίθεοι ἥρωες οὐκ εἰσὶν φύσει **) ἥρωες καὶ δαίμονες· οὐ γὰρ ἀεὶ ἕπονται θεοῖς, ἀλλὰ σχέσει εἰσὶ ψυχαὶ οὖσαι κατὰ φύσιν, γενέσει ἑαυτὰς ἐπιδιδοῦσαι, οἷος ἦν ὁ μέγας Ἡρακλῆς καὶ οἱ τοιοῦτοι. Ἴδιον δὲ τῶν ἡρωϊκῶν ψυχῶν τούτων τὸ μεγαλουργὸν καὶ ὑψηλὸν καὶ μεγαλοπρεπὲς, καὶ τοὺς τοιούτους ἥρωας δεῖ τιμᾶν καὶ ἐναγίζειν αὐτοῖς, κατὰ τὰς τοῦ Ἀθηναίου ξένου ***) παραγγελίας· „μετὰ θεοὺς γὰρ," φησὶ, „καὶ τοῖς δαίμοσιν ὅ γ' ἔμφρων ὀργιάζοιτο ἂν, ἥρωσι δὲ μετὰ τούτους." Τοῦτο γοῦν τὸ ἡρωϊκὸν γένος τῶν ψυχῶν οὐκ ἀεὶ μὲν ἕπεται θεοῖς, ἄχραντον δέ ἐστι καὶ νοερώτερον παρὰ τὰς ἄλλας ψυχὰς, καὶ κάτεισι μὲν ἐπ' εὐεργεσίᾳ τοῦ τῶν ἀνθρώπων βίου, ἅτε μετέχον καὶ τῆς βριθούσης κάτω μοίρας †), πολὺ δὲ τὸ ἀναγωγὸν καὶ εὐαπάλλακτον τῆς ὕλης ἔχουσι· διὸ καὶ ῥᾳδίως εἰς τὸ νοητὸν ἀποκαθίστανται, καὶ πολλὰς περιόδους ἐκεῖ διάγουσιν, ὥσπερ τὰ ἀλογωδέστερα τῶν ψυχῶν γένη, ἢ οὐδ' ὅλως, ἢ δυσχερῶς, ἢ ἐπ' ἐλάχιστον εἰς τὸ νοητὸν ἀποκαθίστανται.

ρικ΄. Ὅτι αὐτὸς μὲν ἕκαστος τῶν θεῶν ἀμιγῶς ἐξήρηται τῶν δευτέρων, καὶ τῶν δαιμόνων δ' οἱ ††) πρώτιστοι καὶ ὁλικώτεροι τῆς τοιαύτης ὑπερίδρυνται σχέσεως, πνεύματα δὲ περίγεια καὶ μερικὰ συλλαμ-

---

*) Cf. Cratyl. §. 32.

**) AB, *φησίν*. Puto me *φύσει* scripsisse e Vaticano, quem doleo nunc non esse ad manum. Supra pro *οὗτοι μὲν φύσει*, A habet *φασίν*, B, *φύ*.

***) In Legg. Platon. IV. p. 601. C. ed. Lugd.

†) Cf. Plat. Phaedr. §. 57.

††) Conjunctio *δὲ* abest ab AB.

βάνουσιν εἰς τινῶν γενέσεις, οὐχὶ φυσικὴν ποιούμενα πρὸς τὰ θνητὰ μίξιν, ἀλλὰ κινοῦντα τὴν φύσιν καὶ τὴν δύναμιν αὐτῆς τελειοῦντα τὴν γόνιμον, καὶ τὴν ἀτραπὸν ἀναπλοῦντα τῆς γενέσεως καὶ πάντα τὰ ἐμπόδια συστέλλοντα. Οἱ μῦθοι οὖν διὰ τῆς ὁμωνυμίας καὶ τὰ πράγματα συγκαλύπτουσι· τὰ γὰρ τοιαῦτα πνεύματα ὁμώνυμά εἰσιν τοῖς τῆς ἑαυτῶν σειρᾶς ἀρχικοῖς αἰτίοις θεοῖς· διό φασιν ἢ θεοὶ θνηταῖς ἢ θνητοὺς θεαῖς συμμιγῆναι. εἰ δ' ἠβούλοντο διαῤῥήδην καὶ σαφῶς λέγειν, εἶπον ἄν, ὅτι ἡ Ἀφροδίτη καὶ ὁ Ἄρης καὶ ἡ Θέτης καὶ οἱ ἄλλοι θεοὶ ἕκαστος ἄνωθεν ἀρχόμενος μέχρι τῶν τελευταίων προάγει τὴν οἰκείαν σειρὰν περιέχουσαν πολλὰς αἰτίας διαφερούσας ἀλλήλων τῇ οὐσίᾳ αὐτῇ, οἷον ἀγγελικὰς, δαιμονίας, ἡρωϊκὰς, νυμφικὰς καὶ τὰς τοιαύτας. Αἱ τοίνυν περιπέζιοι τῶν τάξεων τούτων δυνάμεις πολλὴν κοινωνίαν ἐνεστήσαντο πρὸς τὸ ἀνθρώπινον γένος· τὰ γὰρ τέλη τῶν πρώτων συμφύεται ταῖς τῶν δευτέρων ἀρχαῖς καὶ ταῖς τε ἄλλαις κατὰ φύσιν αὐτῶν διεξαγωγαῖς συντελοῦσι, καὶ δὴ καὶ ταῖς γενέσεσιν, καὶ διὰ τοῦτο δοκεῖ πολλάκις ἐκ τῆς μίξεως αὐτῶν πρὸς τοὺς ἀνθρώπους γενέσθαι ἥρωας, οἳ ἂν δοκῶσιν ἔχειν τι ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν πλεονέκτημα. Συμπαθεῖ δὲ φυσικῶς οὐ μόνον τὸ τοιοῦτον δαιμόνιον γένος τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ἄλλα γένη ἄλλοις, ὥσπερ αἱ Νύμφαι τοῖς δένδροις, καὶ ἄλλαι ταῖς πηγαῖς, καὶ ἄλλα ταῖς ἐλάφοις*) ἢ ὕφεσιν. Ἀλλὰ πῶς ἔσθ' ὅτε μὲν θεοὶ θνηταῖς λέγονται μίγνυσθαι, ἔσθ' ὅτε δὲ θεοῖς θνηταί; ἢ ἡ μὲν τῶν θεῶν πρὸς θεὰς κοινωνία θεοὺς ὑφίστησιν ἢ δαίμονας ἀϊδίους, τῶν δὲ ἡρωϊκῶν ψυχῶν διττὰ ἐχουσῶν εἴδη τῆς ζωῆς, τότε μὲν κατὰ τὸ ἐν ἑαυταῖς ἄῤῥεν καὶ τὸν τοῦ ταυτοῦ κύκλον τὴν θεοπρεπῆ δύναμιν ἐπιδεικνυμένων, τότε δὲ κατὰ τὸ θῆλυ καὶ τὴν θατέρου περίοδον, ἀμφοῖν μὲν κατωρθωμένων, ἀσχε-

---

*) AB, νύμφαι τ. δένδροις ἢ ὄφισιν.

τοι πρὸς τὴν γένεσιν ὑπάρχουσι, καὶ νοοῦσαι τὰ πρὸ ἑαυτῶν καὶ προμηθούμεναι τῶν δευτέρων ἀσχέτως, ἀμφοῖν δὲ ἡμαρτημένων, οὐδὲν διοίσουσι τῶν ἀγελαίων ψυχῶν, παρ᾽ αἷς καὶ ὁ ταυτοῦ κύκλος πεπέδηται καὶ ὁ θατέρου παντοίας ὑπομένει κολάσεις τε καὶ διαστροφάς. Ἀναγκαῖον ἄρα τὸν μὲν κατὰ φύσιν ἔχειν, τὸν δ᾽ ἐμποδίζεσθαι πρὸς τὴν οἰκείαν ἐνέργειαν· διὸ καὶ οἱ ἡμίθεοι, ὡς κατὰ τὸν ἕτερον τῶν κύκλων ἀπὸ τῶν θεῶν ἐκλαμπομένων· ὅσοι μὲν οὖν τὸν κατ᾽ αὐτοῦ κύκλον εὔλυτον ἔχουσι καὶ πρὸς τὴν ἀναγωγὸν ζωὴν εἰσιν ἐγηγερμένοι καὶ περὶ ταύτην ἐνθεάζουσιν, οὗτοι πατρὸς μὲν θεοῦ λέγονται τυχεῖν, μητρὸς δὲ θνητῆς διὰ τὴν ἐπὶ θάτερα τῆς ζωῆς ἔλλειψιν, ὅσοι δ᾽ αὖ ἔμπαλιν κατὰ τὴν θατέρου περίοδόν εἰσιν εὐκίνητοι, καὶ περὶ *) τὰς πράξεις κατορθωτικοὶ καὶ ἐνθουσιαστικοὶ, τούτοις ὁ μὲν πατὴρ θνητὸς, ἡ δὲ μήτηρ θεά· ὡς δὲ συνελόντι φάναι, τὸ κατορθοῦν καθ᾽ ἑκάτερον τὴν θείαν αἰτίαν ἐπιγράφεται, καὶ τοῦ μὲν ταυτοῦ κύκλου κρατοῦντος, τὸ θεῖον ἄῤῥεν εἶναι λέγεται καὶ πατρικὸν, τοῦ δὲ θατέρου μητρικόν. Ὅθεν δὴ καὶ ὁ Ἀχιλλεὺς ἐν ταῖς πράξεσι κατορθωτικὸς ὡς θεᾶς υἱός· δηλοῖ δ᾽ αὐτοῦ τὴν περὶ τὰς πράξεις προθυμίαν καὶ τὸ, ἐν ᾅδου ὄντα, ἐφίεσθαι τῆς μετὰ σώματος ζωῆς, ἵνα ἀμύνῃ τῷ πατρί**). Μίνως δὲ καὶ Ῥαδάμανθυς δῖοι, περιάγοντες ἑαυτοὺς ἀπὸ γενέσεως ἐπὶ τὸ ὂν, καὶ τῆς διακοσμήσεως τῶν θνητῶν ἐφ᾽ ὅσον ἀναγκαῖον ἐφαπτομένοις***).

ριθ'. Ὅτι εἰκότως οἱ ἥρωες ἔσχον τὴν ἐπωνυμίαν ἐκ τοῦ Ἔρωτος 259)· εἴπερ ὁ μὲν Ἔρως δαίμων μέγας, συνεργούντων δὲ τῶν δαιμόνων οἱ ἥρωες τίκτονται·

---

*) A, ἔλλειψιν, καὶ περὶ τὰς πρ.

**) Odyss. XI. 501.

***) Deest hic aliquid. Creuzer. qui haec adtulit ab ὅθεν δὴ in Melet. Crit. t. 1. p. 83. proponit ἐφαπτόμενοι.

259) Cratyl. §. 34.

καὶ διότι ὁ Ἔρως ἐκ*) τοῦ Πόρου ἀμείνονος ὄντος, καὶ τῆς Πενίας ὑποδοχῆς οὔσης καὶ χείρονος τεχθεὶς, καὶ τοὺς ἥρωας ἀναλόγως ἐκ διαφερόντων παράγει γενῶν.

ρκ΄. Ὅτι παρὰ Πλάτωνι τὸ κομψὸν δύο σημαίνει, τό τε κομψὸν καὶ οἰκεῖον, καὶ πάλιν τὸ πιθανὸν καὶ ἀπατηλόν· τὸ δὲ κεκομψευμένον, τὸ μεμηχανημένον 260).

ρκα΄. Ὅτι ὥσπερ ἐν τῷ παντὶ καθαίρουσι μὲν καὶ ἄγγελοι τὰς ψυχὰς, ἀποπέμποντες τὰς ἐκ τῆς γενέσεως κηλίδας, καὶ ἀνάγοντες αὐτὰς πρὸς τοὺς θεοὺς, καθαίρουσι δὲ καὶ δαίμονες πρόσυλοί τινες αἰκιζόμενοι τὰς εἰς τὴν ὕλην βλεπούσας ψυχὰς, καὶ γνάμπτοντες αὐτὰς ἐπ᾽ ἀσπαλάθων· ἃ δὴ καὶ περὶ τὸν Ἀρδιαῖον ἐν Πολιτείᾳ παραδέδονται δρῶντες**)· οὕτως οἱ μὲν ἱερεῖς ἀγγελικῶς πᾶν τὸ ἐπίπροσθεν ἡμῖν πρὸς τὴν αἴσθησιν τῶν κρειττόνων ἀφαιροῦσιν, οἱ δὲ σοφισταὶ διὰ τῶν ἐφ᾽ ἑκάτερα ἐλέγχων γυμνάζοντες ἡμᾶς δαιμονίως, τὴν ἐκ τῆς οἰήσεως βλάβην ἀποκόπτουσιν, οὐ τοῦτο ποιοῦντες, ἵνα διὰ τῆς ἀπορίας ὠφελήσωσι τοὺς ἐλεγχομένους, ἀλλὰ τῆς φανταστικῆς ζωῆς καὶ τῆς δοξομιμητικῆς ἕνεκα· ὑποδύονται γὰρ τοὺς ὄντως ἐπιστήμονας καὶ διαλεκτικούς. Καὶ γὰρ καὶ οἱ τελευταῖοι δαίμονες θλίβουσι τὰς ψυχὰς, οὐχ ἵνα ποιήσουσιν αὐτὰς ἐρασθῆναι τοῦ ὄντος, ἀλλ᾽ ἐπειδὴ φύσιν ἔλαχον τοιαύτην, φρουρητικὴν μὲν τῶν ἐνύλων καὶ εἰδωλοποιῶν κόλπων, κολαστικὴν δὲ τῶν ἐμπιπτουσῶν εἰς τὸν τόπον ἐκεῖνον ψυχῶν.

ρκβ΄. Ὅτι πολλοὶ καὶ θεοὶ καὶ δαίμονες ἐκφῆναι τὴν τῶν θεῶν φύσιν ἀξιώσαντες καὶ τὰ προσήκοντα αὐτοῖς

---

*) Cf. Plat. Symp. 23. Plotinus Enn. III. V. 5. ἀλλὰ τίς ἡ δαίμονος καὶ ὅλως ἡ δαιμόνων φύσις — ἥ τε τῶν ἄλλων, καὶ ἡ αὐτοῦ τοῦ Ἔρωτος, ὡς ἐκ Πενίας καὶ Πόρου Μήτιδός ἐστι γεγενημένος. Forte Πόρου τοῦ Μ.

260) Cf. Cratyl. §. 42. De voce Timaeus Lexic. cum nota Ruhnken. Creuzer. ibid. p. 118. hoc capitulum descripsit.

**) Plat. Rep. X. p. 342. Mass.

ὀνόματα παρέδοσαν, οὕτω καὶ τοῖς ἐπὶ Μάρκου*) γενομένοις θεουργοῖς[261]) οἱ θεοὶ ὡς νοητὰς καὶ νοερὰς τάξεις ἐκφαίνοντες, ὀνόματα τῶν θείων διακόσμων, ἐξαγγελτικὰ τῆς ἰδιότητος αὐτῶν, παραδεδώκασιν, οἷς καλοῦντες ἐκεῖνοι τοὺς θεοὺς ἐν ταῖς προσηκούσαις θεραπείας τῆς παρ' αὐτῶν εὐηκοΐας ἐτύγχανον. Πολλαὶ δὲ καὶ δαιμόνων ἐπιφάνειαι τοῖς εὐμοιροτέροις τῶν ἀνθρώπων ὀνόματα κατεμήνυσαν αὐτοῖς συμφυόμενα τοῖς πράγμασι, δι' ὧν τὴν περὶ τῶν ὄντων ἀλήθειαν τρανωτέραν ἐποίησαν.

ρκγ'. Ὅτι τῶν ὀνομάτων, τὰ μὲν ἐπὶ τοῖς ἀϊδίοις κεῖται πράγμασι, τὰ δ' ἐπὶ τοῖς φθαρτοῖς. Τῶν δ' ἐπὶ τοῖς ἀϊδίοις, τὰ μὲν ὑπ' ἀνθρώπων ἀπείργασται, τὰ δ' ὑπὸ θειοτέρων αἰτίων. Τῶν δ' ὑπὸ θειοτέρας αἰτίας ἢ κατὰ ἄνθρωπον, τὰ μὲν ὑπὸ θεῶν αὐτῶν ἐτέθη, τὰ δ' ὑπὸ δαιμόνων· τῶν δ' ὑπ' ἀνθρώπων, τὰ μὲν κατ' ἐπιστήμην, τὰ δ' ἄνευ ἐπιστήμης. Τῶν δ' ἐπὶ τοῖς φθαρτοῖς, τὰ μὲν κατὰ τέχνην, τὰ δ' ἄνευ τέχνης· τῶν δ' ἄνευ τινὸς τέχνης καὶ διανοίας, τὰ μὲν κατὰ θείαν αἰτίαν ἄγνωστον, ἥτις ἐστὶν ἡ Τύχη, ὥσπερ ὁ Ὀρέστης**), τὰ δ' ἄνευ τοιαύτης αἰτίας· τῶν δ' ἄνευ αἰτίας, τὰ μὲν κατ' ἐλπίδα, τὰ δὲ κατὰ μνήμην***), τὰ δ' οὐδετέρως. Τῶν δὲ κατὰ τέχνην ὀνομασθέντων, τὰ μὲν ἐπὶ τοῖς οὖσι, τὰ δὲ ἐπὶ τοῖς γενομένοις, τὰ δ' ἐπὶ τοῖς μέλλουσιν· ἐπὶ μὲν τοῖς οὖσιν, οἷον ὁ Ἀριστοκλῆς†) Πλάτων μετωνόμασται, ἐπὶ δὲ τοῖς γενομένοις, οἷον ὁ Ἀντίλοχος μετωνόμασται Φιλοπάτωρ διὰ τὸ προκινδυνεῦσαι τοῦ πατρός, ἐπὶ δὲ τοῖς μέλλουσιν, οἷον εἴ τις διὰ μαθηματικῆς προγνοὺς τὸν ἑαυτοῦ παῖδα εὐκλεᾶ γενήσεσθαι, τοῦτον Περικλέα καλέσειεν. Ἔστι δὲ

*) Cf. Taylor. in Classica Valpyii Ephemer. t. 16. p. 334. qui haec verba protulit ab *οὕτω* ad *ἐτύγχανον*.

261) V. *θεουργικοῖς*.

**) Cf. cap 80.

***) Cf. cap. 82.

†) Cf. cap. 16.

καὶ μικτὸν γένος ὀνομάτων ἔκ τε τύχης καὶ τέχνης, καὶ τοῦτο διττόν. Τὸ μὲν γάρ ἐστιν, ὅταν τις γινώσκῃ μὲν τὴν τοῦ ὀνόματος δύναμιν, τὴν δὲ φύσιν ἀγνοῇ τοῦ πράγματος. Ὁ γὰρ Ξάνθιππος, ὅτι μὲν τὸ ὄνομα τοῦτο ὁ Περικλῆς εὔκλειαν σημαίνει περιττὴν, ἐγίνωσκεν, οὐκ ᾔδει δὲ τὸν ἑαυτοῦ παῖδα Περικλέα εὐκλεέστατον ἐσόμενον, ἵνα διὰ τοῦτο οὕτως αὐτὸν ὀνομάσῃ· τὸ δ' ἔμπαλίν ἐστιν, ὅταν τις τὴν μὲν τοῦ ὀνόματος δύναμιν ἀγνοῇ, τὴν δὲ οὐσίαν τοῦ πράγματος γινώσκῃ, οἷον ὁ τὸν Θησέα μετονομάσας Ἡρακλέα· ἐγίνωσκε μὲν γὰρ, ὅτι παραπλήσιος ἦν ὁ Θησεὺς τῷ Ἡρακλεῖ, ἠγνόει δὲ τὸ Ἡρακλῆς ὄνομα ὅτι ἐπὶ μόνου ἥρμοζε τοῦ Ἡρακλέους, διὰ τὸ τὴν Ἥραν αὐτῷ γενέσθαι αἰτίαν τῶν τοσούτων ἀγώνων, καὶ τοῦ διὰ τῶν ἀγώνων ὕστερον κλέους.

ρκδ'. Ὅτι αἱ τῆς ψυχῆς νοήσεις, αἱ μὲν ἐπὶ τῶν ὅλων μένουσι καὶ ταῦτα περιλαμβάνουσιν, αἱ δὲ ἐπὶ τῶν μερικωτέρων γενῶν ἐνεργοῦσι μόνον, αἱ δὲ καὶ ἔτι ἐπὶ τῶν ἀϊδίως ἀτόμων τὰ θεῖα νοήματα πολυπραγμονοῦσιν. Παράδειγμα τοῦ μὲν πρώτου, οἱ τὰς Κρονίας καὶ τὰς φρουρητικὰς θεωροῦντες σειρὰς, τοῦ δὲ δευτέρου, οἱ τὰ ὑπερουράνια καὶ τὸν ἐκεῖ πτηνὸν ἅρμα διελαύνοντα *) κατανοοῦντες, τοῦ δὲ τρίτου, οἱ τὰς ἐξ ἡλίου καὶ σελήνης προϊούσας εἰς τὴν γένεσιν ποιήσεις παρατηρητικῶς φιλοκρινοῦντες.

ρκε'. Ὅτι ἀνθρώπων ἐστὶν ἐκτετοπισμένων τῆς καθ' ἡμᾶς οἰκουμένης, τὸ μήτε ἥλιον μήτε σελήνην θεοὺς[262] ὑπολαμβάνειν, μήτε τοὺς ἄλλους οὐρανίους προσκυνεῖν, σωτῆρας ὄντας ἡμῶν καὶ προστάτας, καὶ ἀναγωγοὺς μὲν τῶν ἀθανάτων ψυχῶν, δημιουργοὺς δὲ καὶ ὑποστάτας τῶν θνητῶν. Εἰ δὲ τοῦτ' ἀδύνατον ἀνθρώπους ὄντας ἔξω που τῆς οἰκουμένης εἶναι, ψυχῶν ἂν ἔγωγε φαίην εἰς αὐτὸν τὸν Τάρταρον καὶ τὸ ἀφεγγέστατον τοῦ παντὸς καὶ ἀτακτότα-

---

*) Cf. Platon. Phaedr. §. 56.

262) Cf. Cratyl. §. 31.

τον ἐπειγομένων τὴν τοιαύτην τόλμαν καὶ τὴν παράλογον ταύτην οἴησιν, πρὸς τοὺς οὐρανίους ἀποθρασυνομένην θεούς[263]). Ἀλλ' οὗτοι μὲν ἔστωσαν ὅπου περ ἐτάχθησαν ὑπὸ τῆς δίκης.

ρκς'. Ὅτι οὐ μόνον ἐπὶ τῶν ἐμφανῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ὑπερουρανίων καὶ νοερῶν καὶ νοητῶν αἰτίων τὸ θεὸς ὄνομα[264]) εὐλόγως κεῖται. Τὸ γὰρ αὐτὸ τάχος, φησὶν ὁ ἐν Πολιτείᾳ Σωκράτης, καὶ ἡ αὐτὴ βραδυτὴς ἐν τοῖς νοητοῖς ἀριθμοῖς· διὸ καὶ τοὺς απολύτους τῶν ὅλων ἡγεμόνας ὑπερκοσμίους ὄντας, πτηνὸν ἅρμα ἐλαύνειν ἐν Φαίδρῳ*) ἐμυήθημεν, καὶ πρὸ τούτων τοὺς νοεροὺς θεοὺς ἐφ' ἁρμάτων τοιούτων ἡνιοχεῖν οἱ θεολόγοι φασὶν, αὐτόν τε τὸν οὐρανὸν τὸν συνοχέα τῶν νοερῶν θεῶν καὶ συνεκτικὸν ἐν περιφορᾷ τὴν νόησιν ἔχειν, τάς τε πρὸ τούτου νοερὰς αἰτίας καὶ ταύτας ἀφθέγκτους οὔσας, ταχεῖαν καὶ ἄχρονον ἔχειν τὴν κίνησιν. Θοὰς**) γὰρ αὐτὰς καὶ τὰ λόγια καλεῖ, καὶ προϊούσας ἀπὸ τοῦ πατρὸς θύειν ἐπ' αὐτόν· ὁ δ' Ὀρφεὺς περὶ τοῦ κρυφίου διακόσμου τῶν θεῶν οὕτως ἔφη·

....τὸ δ' ἀπειρέσιον κατὰ κύκλον
Ἀτρύτως ἐφορεῖτο[265]).

Δυνατὸν δὲ καὶ ἕτερον τρόπον τὸ ὄνομα τοῦτο διερμηνεύειν· τοὺς γὰρ ποιητικοὺς καὶ δημιουργικοὺς δηλοῖ τῶν πάντων αἰτίους· τὸ γὰρ θεῖναι καὶ θήσω εἰς τὸ ποιεῖν μεταλαμβάνεται.

ρκζ'. Ὅτι οὐδὲν ἀμενηνὸν, οὐδὲν ἀδρανὲς ἐν θεοῖς, ἀλλὰ πάντα ἐκεῖ ἐνεργεῖ καὶ ζωαί εἰσιν ζέουσαι καὶ αἰωνίως ἐνεργοῦσαι.

---

263) B. ἀποθρασυνομένον.

264) Cf. Cratyl. §. 31.

*) Phaedr. §. 56.

**) In collectione Chaldaic. Oraculor. Tayloriana t. 17. Classic. Ephem. Valpyanae: sed non accurate descriptus est locus.

265) Orph. fragm. 33. — Descripsit Werfer in Act. Phil. Monac. t. 2. p. 137. ab ὁ δ' Ὀρφ.

ρχή. Τῶν τοίνυν μετὰ θεοὺς γενῶν ἀεὶ μὲν αὐτοῖς ἑπομένων, συναπεργαζομένων δὲ τὰς περικοσμίους ποιήσεις ἄνωθεν ἄχρι τῶν ἐσχάτων, τὰ μέν ἐστιν ἐκφαντορικὰ τῆς γενέσεως, τὰ δὲ διαπορθμευτικὰ τῆς ἑνώσεως, τὰ δὲ διαπορθμευτικὰ τῆς δυνάμεως, τὰ δὲ τῆς γνώσεως τῶν θεῶν καὶ τῆς νοερᾶς οὐσίας προκλητικά· τούτων δὲ τὰ μὲν ἀγγελικὰ προσαγορεύουσιν οἱ τὰ θεῖα δεινοὶ, κατ᾽ αὐτὴν τὴν ὕπαρξιν τῶν θεῶν ἱστάμενα καὶ τὸ ἑνοειδὲς τῆς φύσεως σύμμετρον ποιοῦντα τοῖς δευτέροις· διὸ καὶ τὸ ἀγγελικὸν φῦλον ἀγαθοειδές ἐστιν, ὡσὰν τὴν κρύφιον ἀγαθότητα τῶν θεῶν προφαῖνον· τὰ δὲ δαιμόνια καλοῦσιν, ὡς τὴν μεσότητα συνδέοντα τῶν ὅλων καὶ τὴν θείαν δύναμιν μερίζοντα καὶ προσάγονται μέχρι τῶν τελευταίων· δαῖσαι γάρ*) ἐστι τὸ μερίσαι· τοῦτο δὲ τὸ γένος πολυδύναμόν ἐστι καὶ πολυμερὲς, ὡς καὶ τοὺς ὑλαίους καὶ καταγωγοὺς τῶν ψυχῶν δαίμονας ἐσχάτους ὑποστῆσαι καὶ εἰς τὸ μερικώτατον προελθεῖν τῆς ἀληθείας εἶδος καὶ πρόσυλον[266])· τὰ δ᾽ ἡρωϊκά, τὰς μὲν ἀνθρωπίνας ψυχὰς εἰς ὕψος ἔχοντα καὶ ἀνάγοντα δι᾽ ἔρωτος[267]), νοερᾶς δὲ ζωῆς χορηγὰ καὶ μεγαλουργοῦ καὶ μεγαλόφρονος, καὶ ὅλως ἐπιστρεπτικὴν κληρωσάμενα τάξιν καὶ πρόνοιαν καὶ τὴν πρὸς τὸν θεῖον νοῦν συγγένειαν, εἰς ὃν καὶ ἐπιστρέφει τὰ δεύτερα· διὸ καὶ τὴν ἐπωνυμίαν ἔλαχε ταύτην, ὡς αἴρειν καὶ ἀνατείνειν τὰς ψυχὰς ἐπὶ θεοὺς δυνάμενα. Ταῦτα δὲ τὰ τριπλᾶ γένη μετὰ θεοὺς ἐξήρτηται μὲν αὐτῶν ἀεὶ, διῄρηται δ᾽ ἀπ᾽ ἀλλήλων. Καὶ τὰ μὲν αὐτῶν ἐστὶ νοερὰ κατ᾽ οὐσίαν, τὰ δὲ ἐν λογικαῖς οὐσίωται ψυχαῖς, τὰ δὲ ἐν ἀλόγοις καὶ φανταστικαῖς ὑφέστηκε ζωαῖς, καὶ δῆλον ὅτι τὰ μὲν νοερὰ

---

*) Cf. Duport. Praelect. Theophr. c. 16.

266) AB, πρόδηλον. Cum δ levi sibilo pronunciatur, et η ut υ, facile ex πρόσυλον fit πρόδηλον.

267) A, δι᾽ ἔρωτα. Codd. ἀνάγοντας.

*φρόνησιν ἔλαχεν ὑπεραίρουσαν τὴν ἀνθρωπίνην φύσιν, αἰωνίως συνημμένην τοῖς νοουμένοις, τὰ δὲ λογικὰ διεξοδικῶς κατὰ τὴν φρόνησιν ἐνεργεῖ, τὰ δ' ἄλογα φρονήσεώς ἐστιν ἄμοιρα· τῇ γὰρ ὕλῃ καὶ τοῖς ἀφθεγγεστάτοις τοῦ παντὸς ἐποικεῖ*[268]) *καὶ συνδεῖ τὰς ψυχὰς τοῖς εἰδωλοποιοῖς κόλποις, καὶ ἄγχει τὰς εἰς ἐκείνην τὴν χώραν ὑπενεχθείσας, ἕως ἂν ἐκτίσωσιν τὴν προσήκουσαν δίκην. Τὰ γοῦν τρία ταῦτα γένη τὰ κρείττονα ἡμῶν νῦν ὁ Σωκράτης δαίμονας καλεῖ*[269]). *Εἰ δὲ τὸ ἔνυλον τῶν δαιμόνων φῦλον ἀπᾴδει πρὸς τὴν ἐτυμηγορίαν, μὴ θαυμάσῃς· καὶ γὰρ ὑπερέχον ἐστὶ τοῦτο, καὶ ἴσως παρὰ τὸ δαίω, τὸ μερίζω, ὡς χαῖρον τῷ μερισμῷ.*

*ρκθ'. Ὅτι τριττῆς οὔσης τῆς ὑπάρξεως τῶν κρειττόνων ἡμῶν γενῶν, νοερᾶς, λογικῆς, φανταστικῆς, ἀναλογεῖ τὸ μὲν χρυσοῦν γένος**) *τῇ νοερᾷ· ὁ γὰρ χρυσὸς ἀνεῖται τῷ πρωτίστῳ τῶν κόσμων καὶ ἐμπυρίῳ καὶ νοερῷ, φασὶν οἱ θεολόγοι· τὸ δ' ἀργυροῦν τῇ λογικῇ· καὶ γὰρ ὁ ἄργυρος τῷ μέσῳ καὶ δευτέρῳ κόσμῳ ἀναλογεῖ· τὸ δὲ χαλκοῦν τῇ ἀλόγῳ καὶ φανταστικῇ· καὶ γὰρ ἡ φαντασία νοῦς ἐστὶ μορφωτικὸς, ἀλλ' οὐ καθαρὸς, ὥσπερ καὶ ὁ χαλκὸς χρυσοῦ δοκῶν ἔχειν χροιὰν, πολὺ δὲ τὸ γήϊνον ἔχει καὶ ἀντίτυπον καὶ πρὸς τὰ στερεὰ καὶ αἰσθητὰ συγγενές· διὸ καὶ ἀναλογεῖ τῷ πολυχάλκῳ οὐρανῷ καὶ χαλκέῳ***), *ὅς ἐστιν ὁ αἰσθητὸς, οὗ καὶ ὁ προσεχὴς δημιουργὸς χαλκεύειν παραδέδοται. Καὶ ταῦτα μὲν τὰ τριττὰ γένη τῶν δαιμόνων, οἷς ἀνάλογον τὸ χρυσοῦν τε καὶ ἀργυροῦν καὶ χαλκοῦν γένος· τὸ δὲ τέταρτον καὶ ἡρωϊκὸν γένος τινῶν μέν ἐστι καταδεέστερον τῶν εἰς τὰ εἰρημένα τρία γένη τελούντων, τινῶν δὲ κρεῖττον. Πράξεως μὲν γὰρ ἐφάπτεται τὸ ἡρωϊκὸν γένος*

---

268) A, *ὑποικεῖ.*
264) Cf. Cratyl. §. 32.
*) Cf. Cratyl. §. 32.
**) Epitheta Homerica, Il. *Ε*. 504, *Ρ*. 425.

καὶ τῆς τῶν δευτέρων προνοίας, καὶ τῆς ἀσχέτου ζωῆς ὑφεῖται, ἔχει δὲ τὸ μεγαλουργὸν, καὶ τὸ μεγαλοπρεπὲς τῆς οἰκείας ἀρετῆς ἐνδείκνυται. Τὸ δὲ πέμπτον καὶ πολυπαθὲς ἀνθρώπινον γένος, ὅπερ τῷ πολυκμήτῳ*) ἀπεικάζεται σιδήρῳ καὶ μέλανι, διὰ τὸ τῆς ζωῆς ὑλαῖον καὶ ἀφεγγὲς, τὰς δὲ πράξεις πλημμελεῖς ἐπιδείκνυται διαστρόφους οὔσας καὶ ἀλόγους.

ρλ΄. Ὅτι περὶ δαιμόνων καὶ περὶ ἡρώων νῦν ὁ Πλάτων[270]) ἐπισκέπτεται, οὐ τῶν κατὰ σχέσιν, ἀλλὰ τῶν ἐπέκεινα τῆς οὐσίας ἡμῶν· ἀλλ᾽ ἐξ ἀναλογίας ἀπὸ τῶν κατὰ σχέσιν ἀνατρέχει ἐπὶ τοὺς ὑψηλοὺς, τὸ δ᾽ ὑλαῖον γένος τῶν δαιμόνων παρατρέχει.

ρλά. Ὅτι τὸ ἐν τῇ ἀρχαίᾳ φωνῇ τοὺς δαίμονας δ ά μ ο ν α ς λέγεσθαι δηλοῖ, ὅτι τὸ ᾱ ἀντὶ τῆς αι ἐχρῶντο[271]).

ρλβ΄. Ὅτι ἐοίκασιν αἱ μὲν συλλαβαὶ καὶ τὰ στοιχεῖα τὸν τῆς οὐσίας λόγον ἔχειν ἐν τοῖς ὀνόμασιν, αἱ δ᾽ ὀξύτητες καὶ βαρύτητες δυνάμεις εἶναί τινες τῶν ὀνομάτων.

ρλγ΄. Ὅτι ὁ ἐν ἡμῖν νοῦς Διονυσιακός ἐστι καὶ ἄγαλμα ὄντως τοῦ Διονύσου. Ὅστις οὖν εἰς αὐτὸν πλημμελῇ καὶ τὴν ἀμερῆ αὐτοῦ φύσιν διασπᾷ Τιτανικῶς διὰ τοῦ πολυσχεδοῦς ψεύδους, οὗτος δηλονότι εἰς αὐτὸν τὸν Διόνυσον ἁμαρτάνει, καὶ μᾶλλον τῶν εἰς τὰ ἐκτὸς τοῦ θεοῦ ἀγάλματα πλημμελούντων, ὅσον ὁ νοῦς μᾶλλον τῶν ἄλλων συγγενής ἐστι τῷ θεῷ[272]).

ρλδ΄. Ὅτι τὰ ὁλικώτερα τῶν θεῶν γένη μᾶλλον δυνάμεθα νοεῖν, ἤπερ τὰ μερικώτερα. Ἐπὶ γὰρ τῶν ἡγεμονικῶν καὶ ἀρχικῶν θεῶν, τὸ ὁλικὸν αὐτῶν τῆς ὑποστάσεως καὶ ἐπὶ πάντα διατεῖνον σαφέστερον ἀντιλαμβανόμεθα τῆς γνώσεως, ἤπερ ἐπὶ τῶν απο-

---

*) Et hoc Homericum, Il. Z. 48.

270) Cratyl. §. 32.

271) Hoc caput adtulit Heindorfius ad Cratyl. p. 52. ex Wolfii apographo; sed male exhibet *δῆλον*.

272) V, *τῶν θεῶν*.

λύτων, καὶ τὸν μέγιστον Δία χορηγὸν εἶναι τοῦ ζῆν πᾶσιν καὶ δημιουργὸν ῥᾷον μανθάνομεν, ἥπερ τὸ μόνοις τοῖς οὐρανίοις τὸ ζῆν παρέχοντα· καὶ ὅτι εἷς μὲν ὁ δημιουργὸς ὅλος πᾶσι δῆλον, ὅτι δὲ τρεῖς οἱ μερικώτεροι, τοῦτο ἐργῶδες νοῆσαι.

ρλέ. Ὅτι ἕκαστος τῶν θεῶν, καθ᾽ ὅσον ἑαυτὸν γινώσκει καὶ τὰ ἄλλα πάντα θεῖα γένη, καὶ μετέχει πάντων καὶ ἀφώρισται κατὰ τὴν ἰδίαν ὕπαρξιν, κατὰ τοσοῦτον ὑπόστασιν παρέχεται τοῖς θείοις ὀνόμασιν, ἅπερ ἡμῖν ἐστὶν ἄγνωστα καὶ ἄφθεγκτα· εἴπερ ψυχικῶς ἐν ἡμῖν πάντα τά τε νοερὰ καὶ τὰ θεῖα. Εἰ δὲ μὴ συστοίχως τῷ νῷ εἰσὶν ἐν τῇ ψυχῇ τὰ νοήματα, ἀλλ᾽ εἰκονικῶς καὶ ἐν ἐφέσει[273]), πολλῷ πλέον ἡ ψυχὴ περὶ θεῶν νοεῖν εἰλικρινῶς ἰλιγγιάσει, εἰκονικῶς δὲ μόνον δύναται περί τε οὐσίας θεοῦ καὶ περὶ ὀνομασίας λαβεῖν ἐννοίας.

ρλϛ'. Ὅτι ὥσπερ ὁ τὸ ἐγκόσμιον πᾶν φῶς ἀφ᾽ ἑαυτοῦ χορηγῶν, Ἥλιος καλεῖται, οὕτως καὶ ὁ τὴν ἀλήθειαν ἀφ᾽ ἑαυτοῦ χορηγῶν, Ἀπόλλων καλεῖται*).

ρλζ'. Ὅτι κατὰ τὸ ἀνάλογον τῶν τε οὐσιῶν καὶ τῶν γνώσεων ἐπί τε τῶν θεῶν καὶ τῶν ἀγγέλων καὶ τῶν δαιμόνων καὶ τῶν ψυχῶν, καὶ ἡ τῶν ὀνομάτων τῶν θείων ἐξαλλαγὴ γίνεται· οὐ γὰρ ὥσπερ οἱ ἄγγελοι μειζόνως καὶ νοερωτέρως καλοῦσι τοὺς θεοὺς καὶ ἑαυτούς, οὕτως καὶ αἱ ὑποδεέστεραι φύσεις δαιμόνων ἢ ἡρώων ἢ ψυχῶν.

„Πρεσβυτάτην δὲ θεῶν Ἑστίαν κελαδήσατε, κοῦροι.“

ἐν γὰρ ταῖς εὐχαῖς πρὸ τῶν ἄλλων τὴν Ἑστίαν ὑμνεῖν παρεκελεύοντο[274]).

ρλή. Ὅτι ὁ Κρόνος μετὰ τῆς Ῥέας παράγει τήν τε Ἑστίαν καὶ τὴν Ἥραν συστοίχους οὔσας τοῖς δημιουργικοῖς αἰτίοις. Ἡ μὲν γὰρ Ἑστία ἐνδίδωσιν

---

273) V, ὑφέσει.
*) Cf. Cratyl. §. 48.
274) Cf. Cratyl. §. 40.

ἀφ' ἑαυτῆς τὴν ἀκλινῆ διαμονὴν καὶ ἕδραν ἐν ἑαυτοῖς, καὶ τὴν οὐσίαν ἀδιάλυτον, ἡ δ' Ἥρα τὴν πρόοδον καὶ τὸν εἰς τὰ δεύτερα πολλαπλασιασμὸν ἐνδίδωσι, καὶ ἔστι ζωοποιὸς πηγὴ τῶν λόγων, καὶ τῶν γονίμων δυνάμεων μήτηρ. Διὸ καὶ αὕτη μὲν συνέρχεσθαι τῷ δημιουργικῷ Διῒ λέγεται, καὶ διὰ τῆς κοινωνίας ἀπογεννῶσα μητρικῶς ὅσα ὁ Ζεὺς πατρικῶς, ἡ δ' Ἑστία μένειν[275]) ἐφ' ἑαυτῆς ἄχραντον τὴν παρθενίαν ἔχουσα καὶ ταυτότητος αἰτία οὖσα πᾶσιν. Ἑκατέρα δὲ μετὰ τῆς οἰκείας τελειότητος, καὶ τὴν τῆς λοικῆς δύναμιν κατὰ τὴν μέθεξιν κέκτηται, καὶ διὰ τοῦτο ἄρα οἱ μὲν τὴν Ἑστίαν ἀπὸ τῆς ἐσσίας[276]) κεκλῆσθαί φασιν, εἰς τὴν οἰκείαν αὐτῆς ἀποβλέψαντες ὕπαρξιν, οἱ δὲ εἰς τὴν ζωογονικὴν καὶ κινητικὴν δύναμιν, τὴν ἐκ τῆς Ἥρας αὐτῇ ἐνοῦσαν, ὠσίαν, ὤσεως οὖσαν αἰτίαν· πάντα γὰρ ἐν πᾶσι τὰ θεῖά ἐστι, καὶ διαφερόντως τὰ σύστοιχα ἀλλήλων μετέχει, καὶ ἐν ἀλλήλοις ὑφέστηκεν. Ἕκαστος οὖν τῶν τε δημιουργικῶν καὶ ζωογονικῶν διακόσμων αὐτὸ τὸ εἶδος ὅπερ ἐστὶν ἐκ τῆς Ἑστίας μεταλαβὼν ἔχει, καὶ οἱ ἐν οὐρανῷ κύκλοι τῶν πλανωμένων τὸ ὡσαύτως ἐξ αὐτῆς ἔχουσι, καὶ οἱ πόλοι καὶ τὰ κέντρα τὸ ἠρεμεῖν ἀεὶ παρ' αὐτῆς ἔλαχον.

ρλθ'. Ὅτι ἡ Ἑστία οὐ τὴν οὐσίαν δηλοῖ, ἀλλὰ τὴν μονὴν καὶ σταθερὰν ἵδρυσιν ἐν ἑαυτῇ τῆς οὐσίας· διὸ καὶ μετὰ τὸν Κρόνον προῆλθεν ἡ θεὸς αὕτη. Τὰ γὰρ πρὸ τοῦ Κρόνου τὸ ἐν ἑαυτῷ καὶ ἐν ἄλλῳ οὐκ ἔχει, καὶ ἀπὸ Κρόνου ἄρχεται τοῦτο, καὶ τὸ μὲν ἐν ἑαυτῷ τῆς Ἑστίας, τὸ δὲ ἐν ἄλλῳ τῆς Ἥρας ἴδιον.

ρμ'. Ὅτι ἡ τοῦ Ἡσιόδου θεολογία ἐκ μονάδος τῆς Ῥέας παράγει, κατὰ μὲν τὰ κρείττω τῆς συστοιχίας, τὴν Ἑστίαν, κατὰ δὲ τὰ χείρω, τὴν Ἥραν, κατὰ δὲ τὰ μεταξὺ, τὴν Δήμητρα. Ὁ*) δ' Ὀρφεὺς

---

275) AB, *μὲν ἐν.*
276) VB, *ἑστίας.*
*) Apud Werfer. ibid. p. 137. hinc usque ad *τὰ αὐτά.*

τρόπον μέν τινα τὴν αὐτὴν εἶναι τὴν Δήμητρα τῇ ὅλῃ ζωογονίᾳ, τρόπον δ' ἄλλον οὐ τὴν αὐτήν· ἄνω μὲν γὰρ οὖσα Ῥέα ἐστὶ, κατὰ δὲ μεταξὺ [277]) Δημήτηρ. Καὶ γὰρ τὰ παραγενόμενα*) ὅμοιά εἰσιν τοῖς παράγουσιν καὶ σχεδὸν τὰ αὐτά.

ρμά. Ὅτι ἀσφαλῶς δεῖ νῦν ἀκούειν περὶ τῶν ῥευμάτων καὶ κινήσεων [278])· οὐ γὰρ εἰς τὴν τοῦ Ἡρακλείτου ἔνυλον ῥοὴν ὁ Σωκράτης κατέρχεται (ψεῦδος γὰρ καὶ ἀνάξιον τοῦτο τῆς Πλάτωνος διανοίας)· ἀλλ' ἐπεὶ ἀναλόγως τὰ θεῖα δι' εἰκόνων οἰκείων ἑρμηνεύειν θέμις, εἰκότως τὰς πηγαίας θεότητας καὶ Κρονίας ἐν τούτῳ παίζων ἅμα καὶ σπουδάζων ὁ Σωκράτης ῥεύμασιν ἀπεικάζει, διὰ τὸ ἀεὶ ἐποχετεύεσθαι τὰ ἀγαθὰ ἐκ τῶν ἄνω τοῖς κάτω. Διὸ καὶ κατὰ τὴν τῶν ποταμῶν εἰκόνα, μετὰ τὰς πηγαίας θεότητας ἀεννάως τὰ ἀγαθὰ βλυστανούσας, αἱ ἀρχικαὶ θεότητες ἀνυμνοῦνται. Μετὰ γὰρ τὴν πηγὴν τοῦ ποταμοῦ ἡ ἀρχὴ αὐτῶν θεωρεῖται**).

ρμβ'. Ὅτι οἱ ἰδίως νοεροὶ καλούμενοι θεοὶ ὁλικοὶ, ὧν ἐστὶ πατὴρ ὁ μέγας Κρόνος, πηγαῖοι ἰδίως καλοῦνται***).

Τοῦδε γὰρ ἐκθρώσκουσιν ἀμείλικτοί τε κεραυνοὶ, φησὶ τὸ λόγιον περὶ Κρόνου· περὶ δὲ τῆς ζωογόνου πηγῆς Ῥέας, ἐξ ἧς πᾶσα ζωὴ θεία τε καὶ νοερὰ καὶ ψυχικὴ καὶ ἐγκόσμιος ἀπογεννᾶται, οὕτως φασὶν τὰ λόγια †)·

Ῥείη τοι νοερῶν Μακάρων πηγή τε ῥοή τε.
Πάντων γὰρ πρώτη δυνάμει κόλποισιν ἀφράστοις
Δεξαμένη γενεὴν, ἐπὶ πᾶν προχέει τροχάουσαν.

---

277) V, κάτω δὲ μετὰ τοῦ Διὸς Δημ. quam lectionem recepit Werfer.

*) Werfer. conjicit παραγόμενα.

278) Cratyl. §. 41.

**) Cf. Psellus Expos. in Orac. p. 114.

***) Psellus ibid. Cf. supra c. 105.

†) Hinc sumsit Taylorus et inseruit Collectioni Oraculorum Chald. t. 17. p. 246. Ephem. Class. Taylorus δυνάμεις scripsit.

Καὶ γὰρ τὴν τῆς ζωῆς ἁπάσης ἄπειρον χύσιν ὑφίστησιν ἡ θεὸς αὕτη, καὶ τὰς ἀνεκλείπτους ἁπάσας δυνάμεις, καὶ κινεῖ πάντα κατὰ τὰ μέτρα τῶν θείων κινήσεων, καὶ ἐπιστρέφει πρὸς ἑαυτὴν πάντα ἑδράζουσα ἐν ἑαυτῇ, ὡς σύστοιχος τῷ Κρόνῳ. Λέγεται οὖν Ῥέα καὶ διὰ τὸ ἐπιῤῥεῖν ἀεὶ τὰ ἀγαθὰ, καὶ διὰ τὸ αἰτίαν εἶναι τῆς θείας ῥαστώνης, „θεοὶ ῥεῖα ζώοντες*).“ Ἀνάκειται δὲ αὐτῇ τὸ ὕδωρ καὶ τὰ ὑδραγωγὰ πάντα.

ρμγ΄. Ὅτι ὁ Ὠκεανὸς[279]) ἅπασι τῆς ὀξείας καὶ ἀκμαιοτάτης ἐνεργείας αἴτιός ἐστι τοῖς θεοῖς, καὶ τῶν διακρίσεων τῶν τε πρώτων καὶ μέσων καὶ τελευταίων διακόσμων ἀφοριστικὸς τῇ μὲν ὠκύτητι τοῦ νοῦ πρὸς ἑαυτὸν ἐπεστραμμένος καὶ τὰς οἰκείας ἀρχὰς, πάντα δ᾽ ἀφ᾽ ἑαυτοῦ κινῶν εἰς τὰς οἰκείας ἑαυτοῖς ἐνεργείας, καὶ τελειῶν τὰς δυνάμεις αὐτῶν, καὶ ἀνεκλείπτους ἀπεργαζόμενος. Ἡ δὲ Τηθὺς**) τὴν μονὴν ἐντίθησι τοῖς ὑπὸ τοῦ Ὠκεανοῦ κινουμένοις, καὶ τὴν ἑδραιότητα παρέχεται τοῖς διεγειρομένοις ὑπ᾽ ἐκείνου εἰς τὴν ἀπογέννησιν τῶν δευτέρων, καὶ τὴν καθαρότητα τῆς οὐσίας τοῖς ἀκμαίως†) πάντα παράγειν ἐφιεμένοις, ὡς πᾶν τὸ διαττώμενον[280]) καὶ διηθούμενον τῶν θείων ὑποστάσεων ἀνέχουσαν. Ἕκαστον γὰρ τῶν πρωτίστων αἰτίων, κἂν τοῖς δευτέροις παρέχῃ τὴν τῶν ἀγαθῶν μετουσίαν, ἀλλ᾽ ὅμως κατέχει παρ᾽ ἑαυτῷ τὸ ἄχραντον καὶ ἀμιγὲς καὶ καθαρὸν τῆς μεθέξεως, οἷον τῆς ζωῆς, ἢ τοῦ ὄντος, ἢ τῆς νοήσεως. Πεπλήρωται μὲν ὁ νοῦς καὶ πληροῖ τὴν ψυχὴν, ἀλλ᾽ ἱδρύσας ἐν ἑαυτῷ τὸ εἰλικρινὲς ἑκάστου τούτων καὶ ἐξῃρημένον, ἐπιλάμπει καὶ τοῖς δευτέροις ἀφ᾽ ἑαυτοῦ τὰ καταδεέστερα μέτρα τούτων τῶν

---

*) Homer. Il. Z. 138.
279) Cf. Cratyl. §. 41.
**) Cratyl. §. 42.
†) AB, *ἀκμαίου*.
280) A, *διαταττόμενον*. BV, *διαττόμενον*. Cf. Heind. ad Cratyli loc. Mox forte, *ἀνέχουσα*. Adde c. 146.

ἀγαθῶν· καὶ ἡ μὲν ἀκμὴ τῶν ἐνεργειῶν διὰ τὸν Ὠκεανὸν ὑπάρχει τοῖς πρεσβυτέροις, τὸ δὲ διαττώμενον[281]) καὶ διηθούμενον διὰ τὴν Τηθύν. Πάντα γὰρ τὰ ἐκ τῶν ὑπερκειμένων ἐνδιδόμενα τοῖς δευτέροις, εἴτε οὐσίας, εἴτε ζωάς, εἴτε νοήσεις εἴποις, διηθοῦνται· καὶ ὅσα μὲν αὐτῶν ἐστὶ πρωτουργά, ἑδράζεται[282]) ἐν αὐτοῖς, ὅσα δ' ἂν εἴη ἀτελέστερα, μεθίενται τοῖς ὑφειμένοις, ὥσπερ καὶ τὰ ναματιαῖα ὕδατα, τὰ μὲν ἐγγυτέρω τῆς ἀρχῆς ὄντα καθαρώτερα, τὰ δὲ ποῤῥωτέρω θολερώτερα. Εἰσὶν οὖν ὅ τε Ὠκεανὸς καὶ ἡ Τηθὺς πηγαῖοι θεοὶ κατὰ τὰς πρωτίστας ἑαυτῶν ὑποστάσεις· διὸ καὶ ὁ Σωκράτης νῦν πατέρας τῶν ῥευμάτων αὐτοὺς εἴρηκεν. Προέρχονται δὲ καὶ εἰς τοὺς ἄλλους διακόσμους τῶν θεῶν, ἀρχικῶς τε καὶ ἀπολύτως καὶ οὐρανίως τὰς αὐτὰς ἐν ἑκάστοις ἐπιδεικνύμενοι δυνάμεις. Ὁ δέ γε Τίμαιος καὶ τὰς ὑποσελήνους αὐτῶν ἀνύμνησεν τάξεις, πατέρας μὲν Κρόνου καὶ Ῥέας αὐτοὺς καλῶν, ἐγγόνους δ' Οὐρανοῦ καὶ Γῆς*). Τελευταῖαι δ' αὐτῶν εἰσὶν αἱ περὶ γῆν μὲν μερισταὶ λήξεις, αἵ τε ὑπὲρ αὐτῆς φαινόμεναι, καὶ αἱ ὑπὸ γῆν διορίζουσαι τὴν Ἅιδου βασιλείαν τῆς τοῦ Ποσειδῶνος ἀρχῆς.

ρμδ'. Ὅτι ὁ Κρόνος καὶ τῇ Ῥέᾳ καὶ τῷ Διῒ συντάττεται, ἀλλὰ τῇ μέν, ὡς πατήρ, δυνάμει γονίμῳ, τῷ δέ, ὡς νοητῷ, νῷ.

ρμέ. Ὅτι γαμεῖν λέγεται ὅ τε Ὠκεανὸς τὴν Τηθὺν καὶ Ἥραν ὁ Ζεύς, καὶ τὰ τοιαῦτα, ὡς κατὰ τὴν τῶν ὑφειμένων ἀπογέννησιν τὴν πρὸς αὐτὴν κοινωνίαν ἐνστησάμενος. Ἡ γὰρ ὁμονοητικὴ σύνταξις τῶν θεῶν καὶ ἡ ὁμοφυὴς συνέργεια πρὸς τὰς ποιήσεις, γάμος ἀποκαλεῖται παρὰ τοῖς θεολόγοις.

ρμς'. Ὅτι ὠνόμασται ἡ Τηθὺς παρὰ τὸ διαττώ-

---

281) Codd. διαταττόμενον.

282) A, ἑδράζετο.

*) Platon. Tim. c. 26.

μενον[283]) καὶ ἠθούμενον, οἷον Διαττηθὺς, καὶ ἀφαιρέσει τῶν πρώτων δύο συλλαβῶν, Τηθύς.

ρμζ΄. Ὅτι ὁ μὲν Κρόνος τῆς Τιτανικῆς διακοσμήσεως τῶν θεῶν ἐστὶ μονὰς, ὁ δὲ Ζεὺς τῆς δημιουργικῆς. Διττὸς δ᾽ οὗτος, ὁ μὲν ἐξῃρημένος καὶ τῷ Κρόνῳ συντασσόμενος, πηγαῖος ὢν καὶ ὅλως εἰς τὴν τριάδα τῶν νοερῶν πατέρων τελῶν, καὶ τὸ πέρας αὐτῶν συνελίσσων, ὁ δὲ τοῖς Κρονίδαις συναριθμούμενος, καὶ τὴν Κρονικὴν ἀκρότητα καὶ τὴν ἀρχὴν ἐν τῇ τριάδι ταύτην κληρωσάμενος, περὶ οὗ λέγει καὶ ὁ Ὁμηρικὸς Ποσειδῶν[284])·

Τρεῖς γάρ τ᾽ ἐκ Κρόνου εἰμὲν ἀδελφεοί.

Καὶ ὁ μὲν πρῶτος Ζεὺς, ἅτε ὅλων ὢν δημιουργὸς πρώτων τε καὶ μέσων καὶ τελευταίων βασιλεύς ἐστιν· περὶ οὗ καὶ ὁ Σωκράτης ἔναγχος ἔλεγεν[285]), ὅτι ἐστὶν ἄρχων τε καὶ βασιλεὺς τῶν πάντων, καὶ ὅτι πᾶσιν ἡ ζωὴ δι᾽ αὐτοῦ ἐστὶ καὶ ἡ σωτηρία (τὸ γὰρ πᾶσιν προκείμενον, τὸν πρὸ τῶν τριῶν δηλοῖ Δία· ὁ δὲ ἀρχικὸς Ζεὺς σύστοιχος τῶν τριῶν Κρονιδῶν, τὴν τρίτην ἐπιτροπεύει μοῖραν τῶν ὅλων, κατὰ τὸ „τριχθὰ δὲ πάντα δέδασται[286]),“ καὶ ἔστιν ἀκρότατος τῶν τριῶν καὶ ὁμώνυμος τῷ πηγαίῳ καὶ ἡνωμένος αὐτῷ, καὶ καλεῖται μοναδικῶς Ζεύς)· ὁ δὲ δεύτερος δυαδικῶς καλεῖται Ζεὺς ἐνάλιος καὶ Ποσειδῶν, ὁ δὲ τρίτος τριαδικῶς Ζεὺς[287]) καταχθόνιος καὶ Πλούτων καὶ Ἀΐδης*). Καὶ ὁ μὲν πρῶτος τὰ ἀκρότατα σώζει καὶ δημιουργεῖ καὶ ζωοποιεῖ, ὁ δὲ δεύτερος, τὰ δεύτερα, ὁ δὲ τρίτος, τὰ τρίτα· διὸ καὶ ἁρπάζειν λέγεται τὴν Κόρην οὗτος, ἵνα μετ᾽ αὐτῆς τὰ πέρατα ψυχώσῃ τῶν ὅλων.

---

283) B, διαιτόμενον. A, διαττόμενον. Cf. Cratyl. §. 42. et supra c. 143.

284) Il. O. 187.

285) Cratyl. §. 28. extr.

286) Il. O. 189.

287) AB, Ζεύς τε κατ.

*) Cf. Cratyl. §. 42. . .

ρμή. Ὅτι[288]) τῆς Τιτανικῆς διακοσμήσεως διαιρούσης μὲν ἑαυτὴν ἀπὸ τῆς συνοχικῆς τοῦ οὐρανοῦ τάξεως, ἐχούσης δέ τι καὶ μένον ἐν αὐτῇ καὶ συμφυὲς, ὁ μὲν Κρόνος ἡγεμών ἐστι τῆς διακρίσεως, καὶ διὰ τοῦτο ὁπλίζει καὶ τοὺς ἄλλους κατὰ τοῦ πατρὸς, καὶ αὐτὸς ὑποδέχεται τὴν ἅρπην παρὰ τῆς μητρὸς, δι' ἧς ἀφορίζει τὴν ἑαυτοῦ βασιλείαν ἀπὸ τῆς οὐρανίας· ὁ δὲ Ὠκεανὸς συντέτακται τοῖς μένουσιν ἐν τοῖς τοῦ πατρὸς ἤθεσιν, καὶ τὴν μεσότητα φρουρεῖ τῶν δύο διακόσμων, ὡς μὲν Τιτὰν, τοῖς μετὰ τοῦ Κρόνου θεοῖς συναριθμούμενος, ὡς δὲ τὴν πρὸς τὸν οὐρανὸν σύνταξιν ἀγαπῶν[289]), τοῖς συνοχικοῖς ἑαυτὸν συνάπτων. Προσήκει γὰρ δὴ τῷ ὁρίζοντι τὰς πρώτας καὶ δευτέρας διακοσμήσεις ἐν μέσῳ τετάχθαι τῶν διοριζομένων. Πανταχοῦ δὲ ὁ θεὸς οὗτος τοιαύτην κεκλήρωται δύναμιν, καὶ διακρίνει τὰ γένη τῶν θεῶν, τὰ μὲν Τιτανικὰ τῶν συζοχικῶν, τὰ δὲ ζωογονικὰ τῶν δημιουργικῶν· ὅθεν δὴ καὶ ἡ παλαιὰ φήμη τὸν διορίζοντα τὸ φανερὸν τοῦ οὐρανοῦ καὶ τὸ ἀφανὲς, Ὠκεανὸν καλεῖ, καὶ διὰ τοῦτο τόν τε ἥλιον καὶ τοὺς ἄλλους ἀστέρας ἐξ Ὠκεανοῦ φασὶν ἀνίσχειν οἱ ποιηταί. Διὰ τούτων ἄρα τῶν δύο συζυγιῶν πᾶσαν τὴν Τιτανικὴν τάξιν περιείληφεν ὁ λόγος, μένουσάν τε καὶ προϊοῦσαν ὁμοῦ, καὶ διὰ μὲν τῆς Κρονίας, πᾶν τὸ διακρινόμενον ἀπὸ τῶν πατέρων, διὰ δὲ τῆς Ὠκεανίτιδος, πᾶν τὸ συναφὲς πρὸς τοὺς συνεκτικοὺς θεοὺς, ἢ, εἰ βούλει λέγειν, διὰ μὲν τῆς Κρονίας, πᾶν τὸ μητρικὸν αἴτιον, διὰ δὲ τῆς λοιπῆς, πᾶν τὸ τῆς πατρικῆς αἰτίας ὑπήκοον· προόδου μὲν γὰρ καὶ διακρίσεως αἴτιον τὸ θῆλυ, ἑνώσεως δὲ καὶ μονῆς σταθερᾶς τὸ ἄῤῥεν.

ρμθ'. Ὅτι τῆς δημιουργικῆς τριάδος τῆς διελομένης[290]) τὸν σύμπαντα κόσμον, καὶ τὴν ἀδιαίρετον

---

288) Hinc caput novum orsus sum.

289) AB, ἀγαθῶν.

290) AB, διελεγχομένης.

καὶ μίαν καὶ ὅλην τοῦ πρωτίστου Διὸς δημιουργίαν κατανειμαμένης, τὸ μὲν ἀκρότατόν ἐστι καὶ πατρὸς ἔχον λόγον ὁ Ζεὺς, ὃς δὴ διὰ τὴν πρὸς τὸν ὅλον δημιουργικὸν νοῦν ἕνωσιν τῆς αὐτῆς ἐπωνυμίας τυχὼν, παρεῖται νῦν τῷ Πλάτωνι διὰ τοῦτο αὐτό· τὸ δὲ μέσον καὶ συνδετικὸν ἀμφοῖν τοῖν ἄκροιν ὁ Ποσειδῶν ἐκληρώσατο, πληρούμενος μὲν ἀπὸ τῆς τοῦ Διὸς οὐσίας, πληρῶν δὲ τὸν Πλούτωνα. Ἔστι γὰρ τῆς ὅλης ταύτης τριάδος πατὴρ μὲν ὁ Ζεὺς, δύναμις δ' ὁ Ποσειδῶν, νοῦς δ' ὁ Πλούτων*), πάντων μὲν ἐν πᾶσιν ὄντων, ἄλλου δὲ κατ' ἄλλο τὸν χαρακτῆρα δεχομένου τῆς ὑποστάσεως· ἐπεὶ καὶ ὁ μὲν Ζεὺς κατὰ τὸ εἶναι ὑφέστηκεν, ὁ δὲ Ποσειδῶν κατὰ τὴν δύναμιν, ὁ δὲ Πλούτων κατὰ τὸν νοῦν· καί τοι ζωῆς πάντων αἴτιοι πάντες, ἀλλ' ὁ μὲν οὐσιωδῶς, ὁ δὲ ζωτικῶς, ὁ δὲ νοερῶς. Ὅθεν**) καὶ ὁ θεολόγος τοὺς μὲν ἄκρους μετὰ τῆς Κόρης φησὶ τά τε πρῶτα καὶ τὰ ἔσχατα δημιουργεῖν, τὸν δὲ μέσον καὶ ἄνευ ἐκείνης ἀπὸ τοῦ σφετέρου κλήρου τὴν γεννητικὴν αἰτίαν συντάξαντα. Διὸ καί φασι τὴν Κόρην ὑπὸ μὲν τοῦ Διὸς βιάζεσθαι, ὑπὸ δὲ τοῦ Πλούτωνος ἁρπάζεσθαι· τὸν †) δὲ μέσον φασὶν αἴτιον εἶναι κινήσεως ἅπασιν, ὡς καὶ αὐτοῖς τοῖς ἀκινήτοις· διὸ καὶ Ἐννοσίγαιος καλεῖται, ὡς κινήσεως ἐξάρχων, καὶ ἐν τοῖς κληρουμένοις τὴν τοῦ Κρόνου βασιλείαν ὁ μέσος κλῆρος καὶ ἡ εὐκίνητος θάλασσα αὐτῷ ἀνάκειται. Κατὰ πᾶσαν οὖν διαίρεσιν, Δίϊα μέν ἐστι τὰ ἀκρότατα, Ποσειδώνια δὲ τὰ μέσα, Πλουτώνια δὲ τὰ ἔσχατα· κἂν εἰς τὰ κέντρα ἀποβλέψειας, οἷον τὸ ἀνατέλλον, τὸ μεσουρανοῦν, τὸ δῦνον· κἂν τὸν ὅλον κόσμον διαιρῇς, οἷον, εἰς τὸ ἀπλανὲς, καὶ πλανώμενον, καὶ ὑπὸ σελήνην·

*) Nam, teste Psello in Expos. Orac. p. 113., *ἑκάστη τριὰς ἔχει πατέρα, δύναμιν καὶ νοῦν*. Cf. c. 152.

**) Apud Werfer. l. c. p. 138. hinc usque ad *ἁρπάζεσθαι*.

†) Ab *τὸν* ad *ἀνάκειται* descripsit Creuzer. in Melet. Crit. t. 1. p. 32.

κἂν τὸ γεννητὸν, εἰς τὸ πύρινον, καὶ τὸ χθόνιον, καὶ τὸ μεταξύ· κἂν τὴν γῆν, εἰς τὰ ἄκρα αὐτῆς, καὶ τὰ μέσα καὶ κοῖλα, καὶ τὰ ὑποχθόνια· πανταχοῦ γὰρ ἡ τριὰς αὕτη κατενείματο τοῖς δημιουργικοῖς ὅροις τὰς πρώτας καὶ μέσας καὶ τελευταίας τῶν δημιουργημάτων διαφοράς.

ρν΄. Ὅτι τριχῶς[291]) τὸ Ποσειδῶν ὄνομα ἀναλέλυται νῦν, καὶ γὰρ τριαινοῦχος ὁ Ποσειδῶν καὶ οἱ Τρίτωνες καὶ ἡ Ἀμφιτρίτη, οἰκεῖα τοῦ θεοῦ τούτου. Καὶ τὸ μὲν πρῶτον ἀπὸ τοῦ κλήρου τοῦ ἐπιτροπευομένου καὶ τῶν εἰς τὴν γένεσιν ἐλθουσῶν ψυχῶν, ὧν ὁ ταυτοῦ κύκλος πεπέδηται, εἴπερ καὶ ἡ θάλασσα τῇ γενέσει ἀναλογεῖ, τὸ δὲ δεύτερον ἀπὸ τῆς πρὸς τὸ πρῶτον κοινωνίας, καθ᾽ ὃ συγκριτικῶς εἴρηται περὶ τοῦ Διός[292]).

Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδει.

Καὶ γὰρ[293]) προσεχὲς νοητὸν τοῦ Ποσειδῶνος ὁ τοιοῦτος Ζεύς. Τὸ δὲ τρίτον ἀπὸ τῆς εἰς τὰ ἐκτὸς ἐνεργείας καὶ τῆς πρὸς τὸν Πλούτωνα κοινωνίας. Κἀκεῖνος γὰρ κινητικός ἐστι τῆς φύσεως καὶ ζωοποιὸς τῶν τελευταίων, καὶ αὐτὴν ἐπιτροπεύει τὴν γῆν, καὶ ἀνεγείρει πρὸς τὰς ἀπογεννήσεις.

ρνά. Ὅτι Ποσειδῶν ἐστι θεὸς νοερὸς δημιουργικὸς καὶ τὰς ψυχὰς κατιούσας εἰς τὴν γένεσιν ὑποδεχόμενος, Ἅιδης δὲ θεὸς νοερὸς δημιουργικὸς τὰς ψυχὰς λύων ἀπὸ τῆς γενέσεως. Τῆς γὰρ ὅλης ἡμῶν περιόδου τριχῇ διῃρημένης, εἴς τε τὴν πρὸ τῆς γενέσεως Διϊακὴν ζωὴν, εἴς τε τὴν ἐν γενέσει Ποσειδωνιακὴν, καὶ εἰς τὴν μετὰ τὴν γένεσιν Πλουτωνιακὴν, εἰκότως ὁ Πλούτων κατὰ τὸν νοῦν χαρακτηριζόμενος ἐπιστρέφει τὰ τέλη ταῖς ἀρχαῖς, κύκλον ἄναρχον καὶ ἀτελεύτητον ἀποτελῶν, οὐ μόνον ἐπὶ τῶν ψυχῶν, ἀλλὰ καὶ ἐπὶ πάσης τῆς δημιουργίας τῶν τε σωμά-

291) AB sine τριχῶς.
292) Il. *N*. 355.
293) AB sine γάρ.

των καὶ ἁπλῶς πασῶν περιόδων, τοῦτο ἀνελίσσων ἐξ ἀϊδίου, οἷον τὰς τῶν ψυχῶν τῶν ἀστρῴων τε καὶ τῶν περὶ τὴν γένεσιν ἀνελίξεις τῶν κινήσεων, καὶ τὰ τοιαῦτα. Οὐκοῦν ὁ Ζεὺς ἐπιτροπεύει τὴν ζωὴν τῶν πρὸ τῆς γενέσεως ψυχῶν.

ρνβ΄. Ὅτι κακῶς τινὰς ἀναλύοντας τὸ μὲν τοῦ Πλούτωνος ὄνομα εἰς τὸν ἐκ τῆς γῆς πλοῦτον διά τε τοὺς καρποὺς καὶ τὰ μέταλλα, τὸν δὲ Ἀΐδην εἰς τὸ ἀϊδὲς καὶ σκοτεινὸν καὶ φοβερὸν, ἐπιῤῥαπίζει νῦν[294]) ὁ Σωκράτης, εἰς ταυτὸν ἄγων σημαινόμενον τὰ δύο ὀνόματα, τὸν μὲν Πλούτωνα ὡς νοῦν εἰς τὸν τῆς φρονήσεως πλοῦτον*), τὸν δὲ Ἀΐδην εἰς τὸν εἰδότα νοῦν τὰ πάντα· σοφιστὴς**) γὰρ ὁ θεὸς οὗτος, καὶ τὰς ψυχὰς, μετὰ θάνατον καθαίρων†), ἐλευθεροῖ τῆς γενέσεως. Τὸ γὰρ ἀϊδὲς, ὥς τινες κακῶς ἐξηγοῦνται, οὐκ ἔστι κακόν· οὐδὲ γὰρ ὁ θάνατος κακὸν, εἰ καὶ δοκεῖ τισὶν ἐμπαθῶς ἀϊδὲς εἶναι· ἀλλ᾽ ἔστιν ἀϊδὲς καὶ κρεῖττον τοῦ ἐμφανοῦς, οἷον, τὸ νοητὸν πᾶν. Ὁ οὖν νοῦς ἐν ἑκάστῃ τῶν ὄντων τριάδι συνελίσσει ἑαυτὸν εἰς τὸ ὂν καὶ τὴν πατρικὴν αἰτίαν κύκλον μιμούμενος.

ρνγ΄. Ὅτι καὶ τοὺς διὰ τὸν ἐκ τῆς γῆς πλοῦτον, τὸν διὰ τῶν καρπῶν καὶ τῶν μετάλλων, ἀναλύοντας τὸν Πλούτωνα καὶ οὕτως ἐκλαμβανομένους ἀποδέχεται ὁ θεῖος Πρόκλος[295]).

ρνδ΄. Ὅτι οἱ φιλοσώματοι ἄνθρωποι τὰ τῆς ἐμψυχίας πάθη εἰς ἑαυτοὺς κακῶς ἀναφέροντες, φοβερὸν ἡγοῦνται τὸν θάνατον, ὡς φθορᾶς αἴτιον· τὸ δ᾽ ἀληθὲς, πολλῷ ἄμεινόν ἐστιν ἀνθρώπῳ τελευτήσαντι κατὰ φύσιν ζῆν ἐν ᾅδου, ἤπερ μετὰ τοῦ σώματος ζῆν παρὰ φύσιν ὄντα καὶ κωλυόμενον νοερῶς ἐνερ-

---

294) Cf. Cratyl. §. 43.
*) Cf. cap. 163.
**) Cratyl. §. 44.
†) Cratyl. §. 45.
295) Pluto cum cornucopiae exhibetur in anaglypho apud Zoëgam Bassi ril. T. I. tab. 1.

γεῖν. Διὸ δεῖ αὐτὸν τῶν μὲν σαρκίων, ἃ περιβέβληται, ὥσπερ τὸν Ὀδυσσέα τῶν 296) ῥακέων, γυμνωθῆναι, καὶ μηκέτι πτωχῷ λευγαλέῳ ἐναλίγκιον 297) ὄντα, μετὰ τῆς τοῦ σώματος ἐνδείας δνοπαλίζειν τὰ ἑαυτοῦ ῥάκη· οὐ γάρ ἐστιν ἐφικτὰ τὰ θεῖα βροτοῖς τοῖς σωμανοοῦσιν,

Ἀλλ' ὅσσοι γυμνῆτες ἄνω σπεύδουσι πρὸς ὕψος,

ὥς φησι τὸ λόγιον *).

ρνέ. Ὅτι τὴν ἐπιθυμίαν ὁ Πλάτων **) καθ' ἕκαστον μόριον τῆς ψυχῆς θεωρεῖ· ὅ τε γὰρ θυμικὸς τιμῆς ἢ νίκης ὀρέγεται, καὶ ὁ λογικὸς ἀρετῆς· ὡσαύτως δὲ καὶ θάῤῥος καὶ εὐελπιστίαν καὶ ἡδονὴν, καὶ τὰ τούτων ἐναντία, περὶ ἕκαστον τῆς ψυχῆς μόριον βούλεται θεωρεῖν.

ρνς'. Ὅτι τῷ ἔρωτι τῶν θεῶν καὶ τῷ βουλεύματι αὐτῶν συντρέχει ἡ ἀνάγκη †) αὐτῶν, πρὸς ἣν οὐδὲ θεὸς μάχεται ††).

ρνζ'. Ὅτι τρία γένη Σειρήνων οἶδεν ὁ μέγας Πλάτων, οὐράνιον, ὅπερ ἐστὶν ὑπὸ τὴν τοῦ Διὸς βασιλείαν, γενεσιουργὸν, ὅπερ ἐστὶν ὑπὸ τὸν Ποσειδῶνα, καθαρτικὸν, ὅπερ ἐστὶν ὑπὸ τὸν Ἅιδην, καὶ

---

296) Odyss. *X*. 1.

297) Od. *P*. 202.

*) Hinc sumtum inseruit Taylorus Collectioni Oraculorum in Class. Ephemer. Valpyi t. 17. p. 258.

**) Cf. Cratyl. §. 43. 44.

†) Locus similis est Procli in Tim. 1. *θεία ἀνάγκη συντρέχει τῇ θείᾳ βουλήσει.* Vide omnino Gal. ad Iambl. Myst. p. 198.

††) Simonidas Platonis in Protagora §. 87: *ἀνάγκῃ δ' οὐδὲ θεοὶ μάχονται.* Proverbium fuit inde a Simonide celebratum; sed et potuit jam ante Simonidem esse. Illustravit Heindorfius ad Plat. Protag. quocum cf. Schott. ad Zenob. I. 5. Phalaris Ep. 83. *διὰ τὴν καὶ θεῶν πλεῖον ἰσχύουσαν ἀνάγκην.* Synesius Ep. 103. p. 243. C. *ἀνάγκᾳ δὲ οὐδὲ θεοὶ, φασὶ, μάχονται.* Codd. duo habent hic *ἀνάγκη*: sed praefero Dorismum. Et haec fuit, puto, Simonidis manus. Schol. Eurip. Or. 478. *ἀνάγκᾳ γὰρ οὐδὲ οἱ θεοὶ, φασὶ, μάχονται.*

ἔστι κοινὸν αὐτῶν πασῶν τὸ διὰ τῆς ἐναρμονίου κινήσεως ὑποκατακλίνειν πάντα τοῖς ἑαυτῶν ἡγεμόσι θεοῖς. Διόπερ ἐν οὐρανῷ μὲν τὴν ψυχὴν οὖσαν ἐνίζειν θέλει ταῖς ἐκεῖ διαγωγαῖς, ἐν δὲ τῇ γενέσει ζώσας παραπλέειν 299) αὐτὰς προσήκει, κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα· εἴπερ καὶ ἡ θάλασσα γενέσεως εἰκὼν, ἵνα μὴ θέλγωνται ὑπὸ τῆς γενέσεως, ἐν δὲ τῷ ᾅδῃ γενομένας συνάπτεσθαι διὰ τῶν νοήσεων πρὸς τὸν θεὸν τοῦτον· ὥστε οἶδεν ὁ Πλάτων ἐν τῇ τοῦ ᾅδου βασιλείᾳ γένη θεῶν καὶ δαιμόνων καὶ ψυχῶν, αἳ περιχορεύουσι τὸν θεὸν ὑπὸ τῶν ἐκεῖ Σειρήνων θελγόμεναι.

ρνη. Ὅτι οἶδεν ὁ Πλάτων τὸ ὄνομα τὸν σοφιστὴν 300) ἐπὶ σεμνῷ τάττειν πράγματι· τὸν γὰρ πρὸς ἑαυτὸν τὰ ἄλλα δυνάμενον ἐπιστρέφειν οὕτως καλεῖ, οἷον, τὸν Δία, τὸν Ἅιδην, τὸν Ἔρωτα *).

ρνθ'. Ὅτι οὐ πᾶσαι ψυχαὶ μετὰ τὴν τοῦ σώματος ἀπαλλαγὴν ἀξιοῦνται τῆς τοῦ Πλούτωνος συνουσίας, ἀλλ' αἱ σπουδαιότεραι· αἱ γὰρ σωματοειδέστεραι ὑπὸ τινῶν δαιμόνων ἢ ἀγγέλων καθαρτικῶν ἐπιπόνως καὶ ἀλγεινῶς ἀπαλλάττονται τῆς κακίας.

ρξ. Ὅτι ὁ δημιουργικὸς Ζεὺς καὶ ἄρχων πάντων τῶν δημιουργῶν, πᾶσαν τὴν τῶν δημιουργῶν σειρὰν ἐξαρτᾶν βουλόμενος τῆς Τιτανικῆς σειρᾶς, εἰκότως δεσμεῖν λέγεται τὸν Κρόνον, ἅτε πρὸς Κρόνον ἐπεστραμμένος, καὶ ἐξ αὐτοῦ ἠρτημένος, καὶ τὰ μήκη καὶ πλάτη τῆς Κρονίας περιωπῆς θεωρῶν καὶ ἐνιδρύων τὸν Κρόνον ἐν ἑαυτῷ· ἔχει γὰρ καὶ ὁ Ζεὺς Κρόνον ἐν ἑαυτῷ διΐως. Συνδεῖ οὖν τὸν Κρόνον ἐν ἑαυτῷ ὁ Ζεὺς σταθερῶς καὶ μονίμως, καὶ ὁ Ζεὺς συνδέδεται τῷ Κρόνῳ ὡσαύτως.

---

299) B, παραληρεῖν.
300) Cf. Cratyl. §. 44.
*) Ἅιδην Plato Sophistam hic vocat, Amorem vero in Symp. §. 23. p. 168. Fisch. Cf. Villois. ad Long. p. 173. Hoc Procli capitulum descripsit Creuzer. in Melet. Crit. t. 1. p. 118.

ρξά. Ὅτι διττὴ ἡ τῆς ψυχῆς ἄνοδος, ἡ μὲν κατὰ τὸ ἀνιέναι πρὸς τὸ ὂν καὶ ἀποκαθαίρεσθαι τῶν τῇ γενέσει συμφύλων, ἣν οἱ Πλούτωνος δεσμοὶ μετὰ θάνατον παρέχουσιν, ἡ δὲ κατὰ τὸ ἤδη ἀνεληλυθέναι διὰ τῆς τοῦ Ἅιδου καθάρσεως, καὶ κατὰ τὴν ἐκεῖ ζωὴν καὶ διεξαγωγὴν τῶν νοήσεων περιπολεῖν τὴν ψυχὴν, ἣν οἱ τοῦ Κρόνου δεσμοὶ διὰ τῆς τοῦ Διὸς συναφῆς ἀποτελοῦσιν· οἷον γὰρ ἐν τῷ νοητῷ ἴχνος θεῖσα ἡ ψυχὴ διέξεισιν. ἐκεῖ τὸ πλάτος τῶν νοητῶν, καὶ θεᾶται τὰ μακάρια ἐκεῖνα θεάματα, ὡς ἐν Φαίδρῳ*) Σωκράτης διδάσκει, καὶ ἔστιν αὕτη ἡ ὑστέρα ἀνάβασις, μείζων καὶ τελειοτέρα τῆς προτέρας. Τὰς γοῦν περὶ τὸ σῶμα ἐπτοημένας ψυχὰς οὐ μόνον οἱ τοῦ Ἅιδου δεσμοὶ οὐ δύνανται κατέχειν καὶ ἀνάγειν ἐπὶ τὴν Διὸς ἐπικράτειαν, ἀλλ' οὐδ' οἱ τοῦ Κρόνου, οἵτινες, ὡς πατρὸς, δῆλον ὅτι καὶ ἰσχυρότεροί εἰσιν.

ρξβ'. Ὅτι ὁ μὲν Ποσειδῶν πολλὰ λέγεται εἰδέναι πρὸς τὸν Δία παραβαλλόμενος, ὁ δὲ Ἅιδης πάντα, ὡς πρὸς τὰς ψυχὰς συγκρινόμενος, αἷς τὴν γνῶσιν χορηγεῖ, καί τοι ὁλικώτερος ὁ Ποσειδῶν τοῦ Ἅιδου.

ρξγ'. Ὅτι ὥσπερ τὸν Πλούτωνα ἀναλύειν δεῖ οὐκ εἰς τὸ πρόχειρον μόνον τὸν ἐκ τῆς γῆς πλοῦτον, ἀλλὰ καὶ εἰς τὸν τῆς φρονήσεως πλοῦτον**), οὕτως καὶ τὴν Δήμητρα†), οὐ μόνον εἰς τὴν σωματικὴν τροφὴν, ἀλλ' ἀπ' αὐτῶν τῶν θεῶν ἀρξαμένην δεῖ αὐτὴν ἐννοεῖν χορηγὸν οὖσαν τροφῆς, πρῶτον μὲν αὐτοῖς τοῖς θεοῖς, εἶτα τοῖς μετ' ἐκείνους, καὶ φοιτᾶν τὴν σειρὰν τῆς τοιαύτης ἀγαθουργίας μέχρι τῆς σωματικῆς τροφῆς· καὶ γὰρ ἡ τοῦ Ἔρωτος ἰδιότης πρώτοις ἐπιλάμπει τοῖς θεοῖς, καὶ ἡ τοῦ Ἀπόλλωνος μαντική τε καὶ ἰατρικὴ, καὶ τῶν ἄλλων ὡσαύτως.

---

*) Plato Phaedr. §. 58.
**) Cf. Cap. 152.
†) Cratyl. §. 46.

ρξδ΄. Ὅτι τροφὴ ἐπὶ θεῶν ἐστὶν ἡ τῶν ὑψηλοτέρων τοῖς δευτέροις νοερὰ ἀποπλήρωσις. Τρέφονται οὖν οἱ θεοὶ, ὅταν νοῶσι τοὺς πρὸ ἑαυτῶν θεοὺς, καὶ τελειῶνται καὶ ὁρῶσι τὰ νοητὰ κάλλη, οἷον, αὐτὴν δικαιοσύνην, αὐτὴν σωφροσύνην, καὶ τὰ τοιαῦτα, ὡς ἐν Φαίδρῳ λέλεκται*).

ρξε΄. Ὅτι ἐν τῷ Κρατύλῳ ὁ μέγας Πλάτων σκοπὸν ἔχει, οὐ τὰς πρωτίστας καὶ μέσας καὶ τελευταίας τῶν θεῶν διακοσμήσεις ἀνυμνεῖν, ἀλλὰ μόνας τὰς ἐν τοῖς ὀνόμασιν αὐτῶν ἐμφαινομένας ἰδιότητας.

ρξς΄. Ὅτι τὴν Δήμητρα**) Ὀρφεὺς μὲν τὴν αὐτὴν λέγων τῇ Ῥέᾳ εἶναι, λέγει ὅτι ἄνωθεν μὲν μετὰ Κρόνου οὖσα ἀνεκφοίτητος Ῥέα ἐστὶν, προβάλλουσα δὲ καὶ ἀπογεννῶσα τὸν Δία, Δημήτηρ. Λέγει γάρ·

Ῥείην τὸ πρὶν ἐοῦσαν, ἐπεὶ Διὸς ἔπλετο μήτηρ,
Γέγονε Δημήτηρ***).

Ἡσίοδος δὲ θυγατέρα τῆς Ῥέας λέγει τὴν Δήμητρα, καὶ συμφωνοῦσι δηλονότι οἱ θεολόγοι. Εἴτε γὰρ ἀπὸ τῆς Κρονίας ἑνώσεως εἰς τὴν δευτέραν προῆλθεν διακόσμησιν, εἴτε καὶ παῖς ἐστὶ τῆς Ῥέας ἡ πρωτίστη, τὸ αὐτὸ γίνεται. Τοιαύτη οὖν οὖσα ἡ Δημήτηρ καὶ πρεσβυτάτην καὶ ἡγεμονικωτάτην τάξιν ἀπὸ τῆς ὅλης ζωογόνου Ῥέας λαχοῦσα, καὶ τὰ μέσα κέντρα συνέχουσα τῆς ὅλης ζωογονίας, πληροῖ πάντα μὲν τὰ ὑπερκόσμια τῶν τῆς ζωῆς τῆς παντελοῦς ὀχετῶν, ἀμερίστως καὶ ἑνοειδῶς καὶ ἀδιακρίτως πᾶσιν ἐπιῤῥέουσα τὸ ζῆν, πρὸ δὲ τούτων, αὐτὸν ἡμῖν ἐκφαίνει τὸν δημιουργικὸν νοῦν καὶ τὴν δύναμιν αὐτῷ τῆς τῶν ὅλων ζωοποιΐας ἐνδίδωσιν. Ὥσπερ γὰρ ὁ Κρόνος αὐτῷ τὴν τοῦ εἶναι καὶ τὴν τῆς οὐσίας αἰτίαν χορηγεῖ ἄνωθεν, οὕτως καὶ ἡ Δημήτηρ ἄνωθεν ἀπὸ τῶν ἑαυτῆς κόλπων τῶν γο-

---

*) Phaedr. §. 58.

**) AB, *Δήμητραν*. Cf. not. ad Nicetam Eugen. VI. 609. *Δήμητραν* quoque in codd. Werferi, qui hunc locum exhibuit in Act. ibid. p. 139. ab *Ὅτι* ad *Δημήτηρ*.

***) Forte *Δημ. γέγονε*.

*νίμων προχέει τὴν ζωογονίαν τῷ δημιουργῷ· αὐτὴ δὲ τὸ μέσον ἔχουσα πάσης ζωογόνου θεότητος, ὅλας κυβερνᾷ τὰς ἐν αὐτῇ πηγὰς καὶ τὸν ἕνα περιέχει σύνδεσμον τῶν τε πρωτίστων καὶ τῶν ἐσχάτων τῆς ζωῆς δυνάμεων, καὶ συνελίσσει μὲν τὰς δευτέρας πηγὰς καὶ συνέχει νομίμως*[301]), *προάγει δὲ τὰς τῶν προτέρων ἑνοειδεῖς αἰτίας εἰς τὴν τῶν ὅλων ἀπογέννησιν, καὶ οὕτως ἡ σύμπασα ζωογόνος μία τέ ἐστι καὶ ἑβδομαδική· κατὰ μὲν τὴν ἐξῃρημένην ἕνωσιν προϋπάρχουσα τῆς ἑβδομάδος, κατὰ δὲ τὴν συντεταγμένην εἰς ἓν νοερὸν κέντρον συνάγουσα τὰς ἐν αὐτῇ τριαδικὰς πηγὰς, καὶ τὴν Ἑστίαν περιέχουσα καὶ τὴν Ἥραν· τὴν μὲν Ἥραν, ἀπὸ τῶν δεξιῶν προχέουσαν ὅλον τὸν τῶν ψυχῶν διάκοσμον, τὴν δ' Ἑστίαν ἀπὸ τῶν ἀριστερῶν πᾶν τὸ τῆς ἀρετῆς φῶς προϊεμένην. Διὸ καὶ εἰκότως παρὰ Πλάτωνι μήτηρ τε ἅμα καλεῖται καὶ τῆς ἐδωδῆς χορηγός*[302])· *ὡς μὲν τὴν αἰτίαν τῆς Ἥρας περιέχουσα, μήτηρ, ὡς δὲ τὴν Ἑστίαν ἐν ἑαυτῇ προειληφυῖα, τῆς ἐδωδῆς χορηγός.*

*ρξζ΄. Ὅτι**) *ἡ Δημήτηρ, ὥσπερ πᾶσαν ζωὴν προχέει, οὕτως καὶ πᾶσαν τροφήν· ἔχει δὲ παράδειγμα τὴν Νύκτα (θεῶν γὰρ τροφὸς ἀμβροσίη Νὺξ λέγεται), ἀλλ' ἐκείνη μὲν νοητῶς· καὶ γὰρ τροφὴ τὸ νοητόν ἐστι, κατὰ τὸ λόγιον***), *ταῖς νοεραῖς διακοσμήσεσι τῶν θεῶν· ἡ δὲ Δημήτηρ πρώτη καὶ τὰς διττὰς τροφὰς διεῖλεν ἐν τοῖς θεοῖς, ὥς φησιν Ὀρφεύς·*

*Μήσατο γὰρ προπόλους καὶ ἀμφιπόλους καὶ ὀπαδούς,*
*Μήσατο δ' ἀμβροσίην καὶ ἐρυθροῦ νέκταρος ἄρθρον,*
*Μήσατο δ' ἀγλαὰ ἔργα* †) *μελισσάων ἐριβόμβων.*

---

301) V, *μονίμως*.
302) Cratyl. §. 46.
*) Apud Werfer. ibid. p. 140. hinc usque ad *ἐριβόμβων*.
**) Taylor. hinc sumsit in Collectione Oracul. Chaldaic. t. 17. p. 133. Class. Ephemeridis Valpyanae: sed Codicem non videtur sequi diligenter. Contulit vir doctiss. opportune Hesych. in *Νοερόν*.
†) AB sine *ἔργα*.

*Οὐ μόνον οὖν τὴν ζωὴν, ἀλλὰ καὶ τὴν τῆς ζωῆς τελεσιουργίαν ἀπογεννᾷ ἡ δέσποινα ἡμῶν Δημήτηρ ἀπὸ τῶν ἄνω μέχρι τῶν ὑστάτων*)· καὶ γὰρ ἡ ἀρετὴ τελειότης τῶν ψυχῶν. Κατ' εἰκόνα οὖν τῆς ἀϊδίου ταύτης διττῆς ἀπογεννήσεως καὶ αἱ ἐν χρόνῳ τίκτουσαι μητέρες, ἅμα τε τὸ βρέφος ἔτεκον, καὶ ἅμα τὸ γάλα τροφὴν τῷ τεχθέντι προβάλλουσι φυσικῶς, καὶ οὔτε πρὶν οὔτε ὕστερον.*

*ρξή. Ὅτι τριπλῆ ἐστιν ἡ τοῦ δημιουργικοῦ νοῦ πρὸς τὰς ζῳογόνους αἰτίας σύζευξις. Καὶ γὰρ ταῖς πρὸ αὐτοῦ συνάπτεται πηγαῖς καὶ ταῖς συστοίχοις ἑαυτοῦ σύνεστιν ὁμοφυῶς, καὶ ταῖς καταδεεστέραις ἑαυτοῦ συνεργεῖ διακοσμήσεσι. Τῇ μὲν γὰρ πρὸ αὐτοῦ Δήμητρι ἐπιστρεπτικῶς συγγίνεται, τῇ δὲ ὑστέρᾳ Κόρῃ προνοητικῶς, τῇ δὲ συστοίχῳ Ἥρᾳ ἐρασμίως. Διὸ καὶ ἐρᾶν ὁ Ζεὺς λέγεται τῆς Ἥρας, „ὥς σέο νῦν ἔραμαι[303])·" καὶ ἔστιν αὕτη μὲν ἔννομος, αἱ δὲ ἄλλαι δύο ἔκνομοι δοκοῦσιν. Πάντα οὖν τὰ γένη τῶν ψυχῶν ἀφ' ἑαυτῆς ἡ θεὸς αὕτη παράγει μετὰ τοῦ δημιουργοῦ καὶ πατρὸς, τά τε ὑπερκόσμια καὶ ἐγκόσμια, τά τε οὐράνια καὶ τὰ ὑπὸ σελήνην, τά τε θεῖα καὶ τὰ ἀγγελικὰ καὶ δαιμονικὰ καὶ μεριστά. Καὶ τρόπον μέν τινα διῄρηται τοῦ δημιουργοῦ, τρόπον δέ τινα ἥνωται αὐτῷ· νοῦν γὰρ ἔχειν βασιλικὸν ὁ Ζεὺς λέγεται ἐν Φιλήβῳ **), ἐπειδὴ καὶ ἡ Ἥρα συνέζευκται αὐτῷ ἢ περιέχεται ἐν αὐτῷ· καθ' ὃ εἴρηται †)·*

*Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνησιν ἰαύεις.*

*Τὴν γὰρ πατρικὴν αἰτίαν τοῦ κόσμου καὶ τὴν μητρικὴν ἑνοειδῶς συνέχει ὁ Ζεὺς, καὶ ἡ πηγὴ τῶν ψυχῶν ἐν τῷ Διῒ λέγεται εἶναι, ὥσπερ πάλιν ἡ νόησις τοῦ Διὸς ὑπὸ πρώτης μετέχεσθαι τῆς Ἥρας· οὐδεὶς γὰρ,*

---

*) Ap. Creuzer. Melet. Crit. 1. p. 26. ab *οὐ μόνον* ad *ὑστάτων*.

303) Il. ξ'. 328.

**) Plato Phileb. §. 16. p. 36. Fisch.

†) Hom. Il. ξ. 213.

φησὶν ὁ Ζεὺς παρ' Ὁμήρῳ[304]), τὸν ἐμὸν νοῦν πρὸ τῆς Ἥρας ἄλλος θεὸς γινώσκει. Διὰ ταύτην οὖν τὴν ἄφραστον τῶν θεῶν κοινωνίαν μετέχει μὲν ψυχῶν νοερῶν ὁ κόσμος, ὑπέστησαν δὲ νόες ἐποχούμενοι ταῖς ψυχαῖς καὶ πληροῦντες μετ' αὐτῶν τὴν ὅλην δημιουργίαν.

ρξθ'. Ὅτι ἄνωθεν ἀρχομένη ἡ τῆς δεσποίνης ἡμῶν σειρὰ μέχρι τῶν ὑστάτων διήκει, καὶ ἔστιν ὑπὸ σελήνην ὁ ἀὴρ αὐτῆς λῆξις. Σύμβολον γάρ ἐστιν ὁ ἀὴρ τῆς ψυχῆς, καθ' ὃ καὶ πνεῦμα λέγεται ἡ ψυχὴ, ὥσπερ καὶ τὸ πῦρ εἰκών ἐστι νοῦ, τὸ δὲ ὕδωρ τῆς κοσμοτρόφου φύσεως, δι' οὗ πᾶσα γίνεται τροφὴ καὶ αὔξησις, ἡ δὲ γῆ σώματος διὰ τὸ παχὺ καὶ ἔνυλον· διὸ καὶ αἰνιττόμενος τοῦτο Ὅμηρος ποιεῖ τὴν Ἥραν κρεμαμένην, ὑπὸ δὲ τοῖς ποσὶν αὐτῆς ἄκμονας δύο. Ὁ γὰρ ἀὴρ κάτωθεν ἑαυτοῦ τὰ δύο βαρύτατα στοιχεῖα κεκλήρωται, ἀλλὰ καὶ τὸ „Ἠέρα δ' Ἥρη πότνα πρόσθε βαθεῖαν" τῆς αὐτῆς ἐννοίας ἐστὶν, καὶ τὸ[305]) „ἠέλιον δ' ἀκάμαντα πότνια Ἥρη Πέμψεν ἐπ' Ὠκεα-„νοῖο ῥοάς·" τὴν γὰρ παχυτάτην διὰ τῆς Ἥρας γενομένην ὁμίχλην τοῦ ἡλίου καλεῖ δύσιν. Ἀλλὰ καὶ τὸ τὴν τελευτὴν τοῦ ὀνόματος τῇ ἀρχῇ συνάπτειν*), εἰ πολλάκις λέγοι τις τὸ τῆς θεοῦ ὄνομα, ἐμφαίνει τὴν τῶν ἐξ αὐτῆς λογικῶν ψυχῶν εἰς ἑαυτὰς ἐπιστροφήν· καὶ ὅτι ἡ φωνὴ ἀήρ ἐστι πεπληγμένος, διὰ τοῦτο καὶ ἡ φωνὴ τῶν λογικῶν μάλιστα τῇ θεῷ ἀνάκειται, ἥτις καὶ τὸν τοῦ Ἀχιλλέως ἵππον αὐδήεντα ἔθηκεν**).

ρό. Τρεῖς ταύτας ζωογονικὰς μονάδας ἐφεξῆς νῦν ὁ Σωκράτης †) παραδίδωσι, τὴν Δήμητρα, τὴν Ἥ-

---

304) Il. α. 547.

305) Il. σ. 239.

*) Sic enim exit vox ἀήρ: nempe, si ἥρα saepius pronuncietur, fit ηραηραηραηραηρ... Haec est, puto, Procli mens.

**) Cf. Hom. Il. τ. 407.

†) Cratyl. §. 46.

ραν, τὴν Περσεφόνην· τὴν μὲν μητέρα τοῦ δημιουργοῦ λεγομένην, τὴν δὲ ἀδελφὴν, τὴν δὲ θυγατέρα· πάσας δὲ κοινωνοὺς τῆς ὅλης δημιουργίας, τὴν μὲν ἐξῃρημένως καὶ νοερῶς, τὴν δὲ ἀρχικῶς καὶ ἡγεμονικῶς, τὴν δὲ πηγαίως ἅμα καὶ ἀρχικῶς. Τούτων δὲ τῶν θεαινῶν ἡ τελευταία τριπλᾶς ἔλαχεν δυνάμεις, καὶ θεῶν περιείληφε μονάδας τρεῖς ἀμερίστως καὶ ἑνοειδῶς, προσαγορεύεται*) δὲ καὶ Κόρη, διὰ τὴν καθαρότητα τῆς οὐσίας καὶ τὴν ἄχραντον ἐν ταῖς ἀπογεννήσεσιν ὑπεροχήν. Ἔχει δὲ πρώτην τε καὶ μέσην καὶ τελευταίαν ἡγεμονίαν, καὶ κατὰ μὲν τὴν ἀκρότητα ἑαυτῆς Ἄρτεμις καλεῖται παρ' Ὀρφεῖ, κατὰ δὲ τὸ μέσον κέντρον Περσεφόνη, κατὰ δὲ τὸ πέρας τῆς διακοσμήσεως Ἀθηνᾶ. Καὶ κατὰ μὲν τὴν ὕπαρξιν τὴν ὑπερανέχουσαν τῶν ἄλλων δυνάμεων τοῦ ζωογονικοῦ τούτου τριπλοῦ διακόσμου, ἵδρυται ἡ τῆς Ἑκάτης[306] ἀρχὴ, κατὰ δὲ τὴν μέσην δύναμιν καὶ γεννητικὴν τῶν ὅλων ἡ ψυχικὴ, κατὰ δὲ τὴν νοερὰν ἐπιστροφὴν ἡ τῆς ἀρετῆς. Ἄνω μὲν οὖν καὶ ἐν τοῖς ὑπερκοσμίοις ἡ Κόρη τὴν τριπλῆν ταύτην ἑνοειδῶς προτείνει τὴν τῶν θεῶν διακόσμησιν, καὶ μετὰ τοῦ Διὸς ἀπογεννᾷ τὸν τῆς μεριστῆς δημιουργίας ἀμερίστως προεστηκότα Διόνυσον, κάτω δὲ μετὰ τοῦ Πλούτωνος, κατὰ τὸ μέσον διαφερόντως ἰδίωμα θεωρεῖται· τοῦτο γάρ ἐστι καὶ τὸ προϊὸν πανταχοῦ, καὶ τοῖς ἐσχάτοις χορηγὸν τῆς ζωοποιΐας. Διὸ καὶ Περσεφόνη καλεῖται μάλιστα τῷ Πλούτωνι συνοῦσα, καὶ μετ' αὐτοῦ διακοσμοῦσα τὰ τελευταῖα τοῦ παντὸς, καὶ κατὰ μὲν τὰ ἄκρα παρθένος εἶναι λέγεται καὶ ἄχραντος μένειν, κατὰ δὲ τὸ μέσον ζεύγνυσθαι τῷ Ἅιδῃ καὶ συναπογεννᾶν τὰς ἐν τοῖς ὑποχθονίοις Εὐμενίδας. Καλεῖται μὲν οὖν αὕτη καὶ Κόρη, τρό-

---

*) Ap. Werfer. in Act. l. c. p. 142. hinc usque ad διακοσμ. Ἀθηνᾶ: cf. quae ibi notavit utilia.

306) Codd. ἑκάστης, quod mutavi. Cf. Psellum in Orac. p. 114.

που δ' ἄλλιν τῆς ὑπερκοσμίου καὶ ἡγεμονικῆς· ἡ μὲν γὰρ ἑνάς ἐστι συνεκτικὴ τῶν τριῶν ζωογονικῶν ἀρχῶν, ἡ δὲ μεσότης ἐν ἑαυτῇ τὰς ἰδιότητας ἔχουσα τῶν ἄκρων· διὸ καὶ τὸ τῆς Ἑκάτης[307]), εἴτ' οὖν Ἀθηνᾶς, εὕροις ἂν ἐν τῇ Περσεφόνῃ τῇ μετὰ τοῦ Πλούτωνος, ἀλλὰ τὰ μὲν ἄκρα κρυφίως ἐν αὐτῇ· τὸ δὲ τῆς μεσότητος ἴδιον προφαίνεται καὶ τὸ τῆς ἀρχικῆς ψυχῆς ἀφοριστικὸν, ὅπερ ἐκεῖ μὲν ἡγεμονικῶς ἦν, ἐνταῦθα δὲ ἐγκοσμίως.

ροά. Ὅτι δεῖ τὸν ἐραστὴν τῆς εἰς τοὺς θεοὺς εὐσεβείας σπουδαίως ἀντέχεσθαι τῆς τῶν θείων ὀνομάτων ὀρθότητος, ἵνα μὴ ὥσπερ οἱ περὶ τὴν Περσεφόνην καὶ τὸν Ἀπόλλω πλημμελοῦντες διὰ τὴν ἄγνοιαν τῆς τῶν ὀνομάτων ἀναλύσεως ἐπιῤῥαπίζωνται ὑπὸ Σωκράτους *).

ροβ'. Ὅτι ἡ Περσεφόνη κέκληται, ἤτοι διὰ τὸ διακρίνειν τὰ εἴδη καὶ χωρίζειν ἀλλήλων, ὡς τοῦ φόνου τὴν ἀναίρεσιν αἰνιττομένου, ἢ διὰ τὸ χωρίζειν τὰς ψυχὰς τελέως ἐκ τῶν σωμάτων διὰ τῆς πρὸς τὸ ἄνω ἐπιστροφῆς, ὅπερ ἐστὶν εὐτυχέστατος φόνος καὶ θάνατος τοῖς ἀξιουμένοις τούτου. Ἡ δὲ Φερέφαττα[308]) κατὰ μὲν τὴν τῆς γενέσεως ἐπαφὴν τῇ δευτέρᾳ ἁρμόζει, κατὰ δὲ τὴν σοφίαν καὶ τὴν γνώμην τῇ τρίτῃ, πάντα δ' ὅμως αὐτῇ τὰ γνωρίσματα πρὸς τὴν τῆς ψυχῆς τελειότητα· διὸ καὶ Περσεφόνη προσαγορεύεται, καὶ οὐ τοῖς τῶν ἄκρων ὀνόμασιν, ἐπεὶ καὶ τὸ ἁρπαζόμενον ὑπὸ τοῦ Πλούτωνος τοῦτό ἐστι τὸ μέσον τῶν ἄκρων, ὃ ἐφ' ἑαυτοῦ μονίμως ἕστηκεν· καθὸ καὶ παρθένος ἡ Κόρη λέγεται διαμένειν.

ρογ'. Ὅτι εὐλόγως μετὰ τὴν Περσεφόνην τὸν Ἀπόλλωνα ἀναλύει νῦν[309])· πολλὴ γάρ ἐστιν ἡ κοι-

---

307) Codd. et hic ἑκάστης. Eadem permutatio occurret infra c. 109. ubi cod. Werferi in Actis l. c. p. 147. similiter peccat.

*) Cf. Cratyl. §. 46.

308) B, Φερεφράττα.

309) Cf. Cratyl. §. 47.

νωνία τῶν δύο τούτων σειρῶν, τῆς Κορικῆς λέγω καὶ τῆς Ἀπολλωνιακῆς. Ἡ μὲν*) γὰρ ἑνάς ἐστι τῆς μέσης τριάδος τῶν ἀρχῶν καὶ ζωογονικὰς προβέβληται δυνάμεις ἀφ' ἑαυτῆς· ὁ δὲ τὰς ἡλιακὰς ἀρχὰς εἰς μίαν ἕνωσιν ἐπιστρέφει, κατέχων τὴν τρίπτερον ἀρχὴν, ὥς[310]) τὸ λόγιόν φησι. Προσεχῆ δὲ τὴν ὑπόστασιν ἔλαχον αἱ ἡλιακαὶ ἀρχαὶ μετὰ τὰς ζωογονικάς· διὸ καὶ παρ' Ὀρφεῖ ἡ Δημήτηρ ἐγχειρίζουσα τῇ Κόρῃ τὴν βασιλείαν φησίν·

Αὐτὰρ Ἀπόλλωνος θαλερὸν λέχος εἰσαναβᾶσα
Τέξεαι ἀγλαὰ τέκνα πυριφλεγέθοντα προσώποις.

Τοῦτο δὲ πῶς ἂν γένοιτο μὴ πολλῆς οὔσης τῆς κοινωνίας τῶνδε τῶν θεῶν; Δεῖ δ' εἰδέναι περὶ τοῦ Ἀπόλλωνος τοσοῦτον, ὅτι κατὰ μίαν μὲν καὶ αὐτοφυῆ τὴν πρώτην ἐπιβολὴν, ὁ τῆς ἑνώσεως αἴτιος καὶ ὁ πλῆθος ἀνάγων εἰς τὸ ἓν, Ἀπόλλων εἶναι σημαίνεται, καὶ οὗτος ὁ τρόπος τῆς περὶ τὸ ὄνομα θεωρίας πάσαις ἐφαρμόζει τοῦ θεοῦ ταῖς τάξεσιν. Ὁ δὲ Σωκράτης**) τὰς μερικωτέρας αὐτοῦ δυνάμεις μόνας σκοπεῖ, καὶ γὰρ ἀπερίληπτον ἡμῖν καὶ ἀπεριήγητον[311]) τὸ πλῆθος τῶν τοῦ Ἀπόλλωνος δυνάμεων. Πότε γὰρ ἂν ὁ ἀνθρώπινος λογισμὸς, μὴ ὅτι γε τοῦ Ἀπόλλωνος, ἀλλὰ καὶ ἄλλου τινὸς θεοῦ, δυνατὸς γένοιτο τὰς πάσας περιλαβεῖν ἰδιότητας; Πολὺ γὰρ πλῆθος οἱ θεολόγοι τῶν Ἀπολλωνιακῶν ἰδιοτήτων παραδεδώκασιν· ἀλλ' ὁ Σωκράτης νῦν τέτταρας μόνας παραδίδωσιν. Ὁ μὲν γὰρ κόσμος οἷον δεκάς τις[312]) ἐστὶν ἐκ πάντων πεπληρωμένος τῶν λόγων, καὶ πάντα χωρήσας εἰς ἑαυτὸν, καὶ ἐπιστρέψας εἰς τὴν οἰκείαν ἀρχὴν τῆς δεκάδος, ἧς προσεχῶς μὲν ἡ τετρὰς τὴν αἰτίαν πε-

---

*) Ap. Werfer. in Actis p. 143. hinc usque ad προσώποις.

310) A εἰς pro ὡς.

**) Cratyl. §. 47. 48.

311) V non habet ἡμῖν καὶ ἀπεριήγητον.

312) AB, δεκάτις.

ριείληφεν, ἐξῃρημένως δ' ἡ μονάς· καὶ ἡ μὲν ἀδιαιρέτως καὶ κρυφίως, ἡ δὲ διακεκριμένως[313]· ὥσπερ δὴ καὶ ὁ Ἀπόλλων ἑνίζει τὸ πλῆθος τῶν ἐγκοσμίων προσεχῶς, ὁ δὲ δημιουργικὸς νοῦς ἐξῃρημένως. Διὰ τί οὖν ὁ Σωκράτης τῇ τοιαύτῃ τάξει κέχρηται; Ἀπὸ γὰρ τῆς ἰατρικῆς ἀρξάμενος καὶ διὰ τῆς μαντικῆς καὶ τοξικῆς διελθὼν εἰς τὴν μουσικὴν κατέληξεν. Ῥητέον*) οὖν, ὅτι πᾶσαι μὲν αἱ τοῦ θεοῦ τούτου ἐνέργειαι ἐν πάσαις εἰσὶ ταῖς τῶν ὄντων διακοσμήσεσιν, ἄνωθεν ἀρχόμεναι ἕως τῶν τελευταίων, ἄλλαι δὲ ἐν ἄλλαις δοκοῦσι μᾶλλον ἢ ἧττον ἐπικρατεῖν· οἷον ἡ μὲν ἰατρικὴ τοῦ θεοῦ μᾶλλον ἐν τοῖς ὑπὸ σελήνην,

Ἔνθα κότος τε φόνος τε καὶ ἄλλων ἔθνεα κηρῶν,
Αὐχμηραί τε νόσοι καὶ σήψιες, ἔργα τε ῥευστά·

ταῦτα γὰρ πλημμελῶς κινούμενα, δέονται ἐκ μὲν τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν ἐπανελθεῖν, ἐκ δὲ ἀσυμμετρίας καὶ πολυσχιδίας εἰς συμμετρίαν καὶ ἕνωσιν· ἡ δὲ ἰατρικὴ ἐν τῷ οὐρανῷ· ἐκεῖ γὰρ μάλιστα ἡ ἐκφαντορικὴ τοῦ θεοῦ δύναμις διαλάμπει, τὰ νοητὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἐκφαίνουσα· διὸ καὶ ἡλίῳ συμπεριπολεῖ, καὶ ὁ αὐτὸς ἐνήπλωται ἀμφοτέροις νοῦς, ἐπειδὴ καὶ ὁ ἥλιος φῶς διαδίδωσι τοῖς ἐν οὐρανῷ καταλάμπων καὶ χορηγῶν πᾶσι τῆς ἑνοποιοῦ δυνάμεως· ἡ δὲ τοξικὴ ἐν τοῖς ἀπολύτοις· ἐκεῖ γὰρ ἐνεξουσιάζων τοῖς ὅλοις διεγείρει τὰς ἑαυτοῦ κινήσεις, ἃς δὴ βέλεσιν ἀπεικάζουσι πανταχῇ, καὶ ἀναιρεῖ μὲν πᾶσαν τὴν ἀταξίαν, πληροῖ δὲ πάντα τῶν δημιουργικῶν δόσεων, διὸ καὶ Ἑκατηβελέτης προσαγορεύεται, ὅτι χωριστὸς ὢν καὶ ἐξῃρημένος ἐπὶ πάντα[314]) φθάνει ταῖς ἐνεργείαις· ἡ δὲ μουσικὴ τὸν ἡγεμονικὸν

---

313) A, διακεκρυμένως. B, διακεκρυμμένως.

*) Ap. Werfer. ibid. p. 143. ab Ῥητέον ad ῥευστά. Versus esse putat Orphei: non velim id negare. Forte tamen petita sunt ex Oraculo.

314) AB, πάντας. — Hunc locum ab καὶ ἀναιρεῖ ad ἐνεργείαις descripsit Creuzer. in Melet. Crit. p. 30.

καὶ ἀρχικὸν μᾶλλον ἔχει διάκοσμον· ἐκεῖνος γάρ ἐστιν ὁ καὶ τὸν κόσμον ὅλον ἁρμόζων κατὰ μίαν ἕνωσιν τὸν τῶν μουσῶν χορὸν περὶ ἑαυτὸν ὑποστησάμενος, „ἁρμονίᾳ φωτὸς γαυρουμένου“, ὥς φησί τις τῶν θεουργῶν. Ἔστιν οὖν, ὡς εἴρηται, καὶ ὁ μουσικὸς καὶ οἱ ἄλλοι Ἀπόλλωνες καὶ ἐν γῇ καὶ ἐν τοῖς ἄλλοις, ἀλλ' ὅπου μὲν μᾶλλον διαφαίνεται, ὅπου δὲ ἧττον. Καὶ αὗται μὲν ἑνιαίως ἐν τῷ θεῷ καὶ ἐξῃρημένως αἱ δυνάμεις, ἐν δὲ τοῖς ὀπαδοῖς τοῦ θεοῦ, κρείττοσιν ἡμῶν γένεσιν, κατὰ μέθεξιν καὶ μεριστῶς, οἷον πολλοὶ δῆμοι ἰατρικῶν ἀγγέλων καὶ δαιμόνων καὶ ἡρώων εἰσὶν[315] ἐξ Ἀπόλλωνος ἠρτημένων, καὶ μαντικῶν ἄλλων καὶ μουσικῶν καὶ τοξικῶν, διακεκριμένως καὶ μεριστῶς τὰς ἑνιαίας τοῦ θεοῦ δυνάμεις κατανειμαμένων. Δεῖ δ' ἑκάστην τῶν δυνάμεων κατὰ μίαν ἀφωρισμένην ἰδιότητα θεωρεῖν, οἷον, τὴν μὲν μουσικὴν κατὰ συνδετικὸν τοῦ διαφορουμένου πλήθους, τὴν δὲ τοξικὴν κατὰ τὸ τῆς ἀτάκτου φύσεως ἀναιρετικὸν, τὴν δὲ μαντικὴν κατὰ τὸ ἐκφαντορικὸν, τὴν δὲ ἰατρικὴν κατὰ τὰ τελεσιουργὸν, καὶ ταύτας τὰς ἰδιότητας ἄλλως μὲν ἐπ' αὐτῶν τῶν θεῶν ὁρᾷν, ἄλλως δ' ἐπὶ τῶν ἀγγελικῶν, καὶ ἐπὶ τῶν δαιμονίων ἄλλως, καὶ ἄλλως ἐπὶ τῶν ἡρωϊκῶν, καὶ πάλιν ἐπὶ τῶν ἀνθρώπων καὶ ζώων καὶ φυτῶν ἄλλως καὶ ἄλλως. Καθήκουσι γὰρ αἱ τῶν θεῶν δυνάμεις ἄνωθεν ἄχρι τῶν ἐσχάτων, οἰκείως ἐν ἑκάστοις φανταζόμεναι, ἃ καὶ ἡ τελεστικὴ διὰ τῆς συμπαθείας συνάπτειν ἐπιχειρεῖ τοῖς θεοῖς, ἐν ἁπάσαις δὲ ταῖς τάξεσι[316] τοῦτο φυλακτέον, ὅτι ἑνοποιὸς ἐστιν ὁ θεὸς οὗτός τῶν πεπληθυσμένων. Καὶ γὰρ ἡ ἰατρικὴ τὸ πολυσχιδὲς τῶν νοσημάτων ἀφαιροῦσα τὴν ἑνιαίαν ὑγίειαν χαρίζεται· ἡ γὰρ ὑγίεια[317] συμμετρία ἐστὶ καὶ κατὰ φύσιν, τὸ δὲ παρὰ φύσιν πολύχουν· ἀλλὰ καὶ ἡ μαντικὴ τὴν ἁπλότητα

315) Codd. ἐστίν.

316) AB, πράξεσι. Eadem permutatio infra c. 183. Cf. ad Tiber. Rhet. p. 88.

317) V, ὑγίαν — ὑγία.

τῆς ἀληθείας ἐκφαίνουσα[318]) τὴν τοῦ ψεύδους ποικιλίαν ἀναιρεῖ· ἡ δὲ τοξικὴ πᾶν τὸ πλημμελὲς ἀναιροῦσα καὶ θηριῶδες, τὸ δὲ τεταγμένον καὶ τὸ ἥμερον ἐπικρατεῖν παρασκευάζουσα, τοῦ ἑνὸς ἀντέχεται καὶ τὴν εἰς πλῆθος φερομένην ἄτακτον φύσιν ἀποσκευάζεται· ἡ δὲ μουσικὴ διὰ τοῦ ῥυθμοῦ καὶ τῆς ἁρμονίας δεσμὸν καὶ φιλίαν καὶ ἕνωσιν ἐντίθησι τοῖς ὅλοις, τὰ δ᾽ ἐναντία τούτων ἐκποδὼν καθίστησιν. Οὕτως ἄρα καὶ ὁ τοῦ παντὸς δημιουργὸς ἄνοσόν τε καὶ ἄγηρον ἐργαζόμενος τὸ πᾶν διὰ τῆς νοερᾶς ἰατρικῆς τῆς προανατελλούσης πᾶν τὸ παρὰ φύσιν καὶ μηδὲ ὑποστῆναι συγχωρούσης, καὶ τὸ πλημμελὲς καὶ ἄτακτον εἰς τάξιν ἄγων διὰ τῆς θείας τοξικῆς, καὶ τὸ ἀνάρμοστον τῆς ὕλης ἁρμονίαις συνδέων, καὶ τὰς ψυχὰς ἁρμόζων κατὰ τὴν θείαν μουσικὴν, καὶ ταῖς ψυχαῖς προλέγων τὰ μέλλοντα κατὰ τὴν ἐν αὐτῷ νοερὰν μαντικὴν, ὁμοῦ ταῖς προῤῥήσεσιν ἀπογεννῶσαν τὰ πράγματα τὴν ἀλήθειαν ἐκφαίνει. Καὶ αὗται πᾶσαι αἱ δυνάμεις πρώτως μὲν καὶ ἐξῃρημένως ἐν τῷ δημιουργῷ τῶν ὅλων καὶ ἑνοειδῶς, δευτέρως δὲ καὶ διακεκριμένως ἐν τῷ Ἀπόλλωνι, ὥστ᾽ οὐ διὰ ταῦτα ὁ Ἀπόλλων ὁ αὐτός ἐστι τῷ δημιουργικῷ νῷ, ἀλλ᾽ ἐκεῖνος μὲν ὁλικῶς καὶ πατρικῶς περιέχει τὰς δυνάμεις ταύτας, ὁ δ᾽ Ἀπόλλων ὑφειμένως τὸν ἑαυτοῦ πατέρα μιμούμενος. Πᾶσαι γὰρ αἱ τῶν δευτέρων θεῶν ἐνέργειαι καὶ δυνάμεις ἐν τῷ δημιουργῷ περιέχονται κατ᾽ αἰτίαν, καὶ ἐκεῖνος μὲν κατὰ πάσας ἅμα καὶ ἀθρόως δημιουργεῖ τὸ πᾶν καὶ διακοσμεῖ, οἱ δ᾽ ἀπ᾽ αὐτοῦ προεληλυθότες ἄλλοι κατ᾽ ἄλλας δυνάμεις τῷ πατρὶ[319]) συνεργοῦσιν.

ροδ΄. Ὅτι ἄτοπον εἰπόντος Ἑρμογένους τὸ ὄνομα τοῦ θεοῦ Ἀπόλλωνος, εὐάρμοστον αὐτὸ λέγει ὁ Σωκράτης[320]) ἐκκλίνων τὸ δύσφημον.

---

318) AB, ἐκφέρουσα. De hac permutatione vide not. ad Nicet. Eugen. I. 326.

319) B, πνεύματι. A, πν̃ι. V, πρί.

320) Cf. Cratyl. §. 47.

ροέ. Ὅτι τὴν κάθαρσιν μὴ μόνον ἐπὶ τῆς ἰατρικῆς ὁρᾷν, ἀλλὰ καὶ ἐπὶ τῆς μαντικῆς δείκνυσιν, ὅτι γενικῶς ἡ καθαρτικὴ τοῦ Ἀπόλλωνος δύναμις περιέχει τὰς δύο· καὶ γὰρ ταῖς τοῦ φωτὸς μαρμαρυγαῖς λαμπρύνει τὸν κόσμον καὶ*) ταῖς παιωνικαῖς ἐνεργείαις πᾶσαν τὴν ὑλικὴν ἀμετρίαν ἐκκαθαίρει, ἃ δὴ καὶ οἱ ἐνταῦθα μιμούμενοι ἰατροί τε καὶ μάντεις, οἱ μὲν τὰ σώματα καθαίρουσιν, οἱ δὲ διὰ τῶν περιῤῥάνσεων καὶ τῶν περιθειώσεων ἁγνοὺς ἑαυτοὺς καὶ τοὺς συνόντας ἀποτελοῦσιν. Καὶ γὰρ, ὥς φησι Τίμαιος**), καὶ τὸ πᾶν οἱ θεοὶ καθαίρουσιν ἢ πυρὶ ἢ ὕδατι, ἃ καὶ οἱ μάντεις μιμοῦνται, καὶ διὰ ταῦτα καὶ αἱ θεουργίαι τοὺς μὲν κλήτορας καὶ τοὺς δοχέας[321]) τούτοις τοῖς τρόποις καθαίρειν παρακελεύονται, καὶ οὐ τοῖς μάντεσι μόνον, ἀλλὰ καὶ τοῖς τελεσταῖς οἱ καθαρμοὶ πρὸ τῶν τελετῶν παραλαμβάνονται, πᾶν τὸ ἀλλότριον τῆς προκειμένης τελετῆς ἀποσκευαζόμενοι. Καὶ μὴν καὶ τὸ τὰς πολυειδεῖς καθάρσεις εἰς μίαν ἀναπέμπειν τὴν τοῦ θεοῦ καθαρτικὴν δύναμιν, οἰκεῖόν ἐστιν αὐτῷ· πανταχοῦ γὰρ ἑνωτικός ἐστι τοῦ πλήθους ὁ Ἀπόλλων καὶ συναγωγὸς εἰς ἓν, καὶ πάντας τοὺς τρόπους τῆς καθάρσεως ἑνοειδῶς προείληφεν, ὅλον τε τὸν οὐρανὸν καὶ τὴν γένεσιν καὶ τὰς ζωὰς ἁπάσας καθαίρων τὰς ἐγκοσμίους, καὶ τὰς μερικὰς ψυχὰς ἀπὸ τῶν παχυσμάτων χωρίζων τῆς ὕλης. Διὸ καὶ ὁ θεουργὸς ὁ τῆς τελετῆς τούτου προκαθηγούμενος ἀπὸ τῶν καθάρσεων ἄρχεται καὶ τῶν περιῤῥάνσεων·

Αὐτὸς δ' ἐν πρώτοις ἱερεὺς πυρὸς[322]) ἔργα κυβερνῶν
Κύματι ῥαινέσθω παγερῷ βαρυηχέος ἅλμης,

---

*) Creuzer. in Melet. Crit. 1. p. 31. descripsit haec, *καὶ — ἐκκαθαίρει.*

**) Cf. Tim. §. 7.

321) V, *δοχέτας.*

322) A, *πρός.* Hac oraculum suae collectioni inde inseruit Taylor. t. 17. p. 256. Ephem. Class. Male exhibet *βαρυηχετος.*

ὥς φησι τὸ λόγιον περὶ αὐτοῦ. Τὸ δὲ τῆς κατὰ γνῶσιν ἁπλότητος προεστάναι τὸν θεὸν καὶ τῆς ἀληθείας ἐκφαντορικὸν εἶναι, τὴν πρὸς τἀγαθὸν αὐτοῦ παρίστησιν ἀναλογίαν, ἣν καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης ἀνυμνεῖ, τὸν ἥλιον ἔκγονον τἀγαθοῦ λέγων καὶ ἀνάλογον αὐτῷ. Ἑνωτικὸς οὖν ὑπάρχων καὶ ταύτῃ πρὸς τοὺς ἐγκοσμίους θεοὺς ἀνάλογον τἀγαθῷ τεταμένος[323]), καὶ διὰ τῆς ἀληθείας ἡμῖν ἐκφαίνει τὴν πρὸς ἐκεῖνο, εἰ θέμις εἰπεῖν, ὁμοιότητα· τὸ γὰρ ἁπλοῦν τοῦ ἑνός ἐστιν ἔκφανσις, καὶ ἡ κατὰ τὴν γνῶσιν ἀλήθεια τῆς ὑπερουσίου καὶ πρωτίστης ἀπὸ τἀγαθοῦ προελθούσης ἀληθείας, τὸ δ' ἀεὶ τῶν βολῶν ἐγκρατῆ τὸν θεὸν τοῦτον εἶναι τὴν δυναστείαν αὐτοῦ τὴν πάντα καταγωνιζομένην τὰ ἐν τῷ κόσμῳ δείκνυσιν[324]). Ἄνωθεν γὰρ ἀπὸ τῆς ὑπερουρανίου τάξεως διασπείρει τοὺς ὀχετοὺς τοῦ Διὸς, καὶ τὰς ἀκτῖνας ἐπὶ πάντα τὸν κόσμον· τὰ γὰρ βέλη τὰς ἀκτῖνας αἰνίττεται. Τὸ δὲ τῆς μουσικῆς παρίστησιν, ὅτι θεὸς οὗτος αἴτιός ἐστι πάσης ἁρμονίας ἀφανοῦς τε καὶ ἐμφανοῦς διὰ τῶν ἡγεμονικῶν αὐτοῦ δυνάμεων, καθ' ἃς ἀπογεννᾷ σὺν τῇ Μνημοσύνῃ καὶ τῷ Διῒ τὰς Μούσας, συνδιακοσμεῖ δὲ πᾶν τὸ αἰσθητὸν ταῖς δημιουργικαῖς αὐτοῦ δυνάμεσιν, ἃς δὴ θεουργῶν παῖδες χεῖρας ἀποκαλοῦσιν, ἐπεὶ καὶ τῆς ἁρμονίας ἐνέργεια τῶν φθόγγων τῆς τῶν χειρῶν ἐξῆπται κινήσεως· ἀλλὰ καὶ τὰς ψυχὰς καὶ τὰ σώματα διὰ τῶν ἁρμονικῶν λόγων κατακοσμεῖ, οἷον φθόγγοις τισὶ χρώμενος, ταῖς διαφόροις αὐτῶν δυνάμεσι, καὶ κινεῖ ἐναρμονίως καὶ ἐνρύθμως πάντα ταῖς δημιουργικαῖς αὐτοῦ κινήσεσιν. Ἀλλὰ καὶ ἡ οὐρανία πᾶσα τάξις καὶ κίνησις τὸ ἐναρμόνιον τοῦ θεοῦ ἔργον ἐνδείκνυται[324*])· διὸ καὶ αἱ μερισταὶ ψυχαὶ οὐκ ἄλλως τελειοῦνται, ἢ

---

323) AB, *τεταμένος*. V, *τεταγμένως*.

324) Heindorf. ad Cratyl. p. 75. Procli verba excitavit a *τὸ ἀεὶ τῶν βολῶν* ad *Ἄνωθεν*.

324*) Verba: *Τὸ δὲ τῆς μουσικῆς παρίστησιν — — — τὸ ἐναρμόνιον τοῦ θεοῦ ἔργον ἐνδείκνυται* adfert Lambe-

*διὰ τῆς πρὸς τὸ πᾶν ἐναρμονίου ὁμοιότητος τὸ ἀπὸ τῆς γενέσεως ἀνάρμοστον ἀποσκευασάμεναι· τότε γὰρ τυγχάνουσι τοῦ προτεθέντος αὐταῖς ὑπὸ τοῦ θεοῦ ἀρίστου βίου.*

ρϛʹ. *Ἀπὸ δὲ τῶν περὶ τοῦ βασιλέως Ἀπόλλωνος λόγων ἐπὶ τὰς Μούσας καὶ τὸ ὄνομα τῆς μουσικῆς μεταβαίνει*[325]· *Μουσηγέτης γὰρ ὁ Ἀπόλλων ἀνυμνεῖται, καὶ ἔστιν αὐτὸς μὲν μονὰς, πρὸς τὴν ἐν τῷ παντὶ ἁρμονίαν· ὁ δὲ τῶν Μουσῶν χορὸς τοῦ παντὸς ἀριθμοῦ τῆς ἐννεάδος· ἐκ δ' ἀμφοῖν ὁ κόσμος ὅλος τοῖς ἀλύτοις ἐδέθη δεσμοῖς, καὶ ἔστιν εἷς τε καὶ παντελὴς, τὸ μὲν ἔχων, διὰ τὴν Ἀπολλωνιακὴν μονάδα, τὸ δὲ παντελὲς, διὰ τὸν τῶν Μουσῶν ἀριθμόν· ὁ γὰρ ἔννατος ἐκ τοῦ πρώτου τελείου γεγονὼς δι' ὁμοιότητός τε καὶ ταυτότητος, οἰκείως ἔχει ταῖς πολυειδέσι μὲν αἰτίαις τῆς κοσμικῆς διατάξεως καὶ ἁρμονίας, πάσαις δ' εἰς μίαν τελειότητα κορυφουμέναις· αἱ μὲν γὰρ τὴν ποικιλίαν ἀπογεννῶσι τῶν λόγων, ὁ δὲ πᾶν τὸ πλῆθος αὐτῶν συνέχει καθ' ἕνωσιν, καὶ αἱ μὲν τὴν ψυχικὴν ἁρμονίαν ὑφιστῶσιν, ὁ δὲ τῆς νοερᾶς καὶ ἀμερίστου χορηγός ἐστιν ἁρμονίας· καὶ αἱ μὲν διαιροῦσι τὸ ἐμφανὲς κατὰ τοὺς ἁρμονικοὺς λόγους, ὁ δὲ τὴν ἀφανῆ καὶ χωριστὴν ἁρμονίαν συνέχει· καὶ ἀμφότεροι δὲ τῶν αὐτῶν ὑποστάται, ἀλλ' αἱ μὲν κατ' ἀριθμὸν, ὁ δὲ κατὰ ἕνωσιν· καὶ αἱ μὲν τὸ ἓν τοῦ Ἀπόλλωνος διαιροῦσιν, ὁ δὲ τὸ μουσικὸν πλῆθος ἑνίζει, ἐπιστρέφων αὐτὸ καὶ συνέχων· τὸ γὰρ τῶν Μουσῶν πλῆθός ἐστι τὸ ἀπὸ τῆς ἑνιαίας τοῦ Μουσηγέτου καὶ χωριστῆς ὑπάρξεως, καὶ ὁ ἀριθμὸς ὁ προελθὼν καὶ ἐξελίξας τὴν μίαν καὶ πρωτουργὸν αἰτίαν τῆς τῶν ὅλων ἁρμονίας.*

ρζʹ. *Ὅτι τὸ ἔτυμον τοῦ ὀνόματος τῶν Μουσῶν τοιοῦτον· ἐπειδὴ τὴν φιλοσοφίαν καλεῖ ὁ Πλάτων*

---

eius ad Codin. num. 27. p. 152.; indicium faciente Fabricio Bibl. Gr. t. 9. p. 425.

325) Cratyl. §. 49.

μεγίστην μουσικὴν, ἅτε δὴ τὰς ψυχικὰς ἡμῶν δυνάμεις ἐναρμονίως κινεῖσθαι ποιοῦσαν, καὶ πρὸς τὰ ὄντα συμφώνως καὶ τὰς κινήσεις τῶν ἐν αὐτῇ κύκλων τεταγμένας, πρὸς δὲ ταύτην ἡμᾶς ἄγει ἡ ζήτησις τῆς ἑαυτῶν τε οὐσίας καὶ τῆς τοῦ παντὸς, διὰ τῆς πρὸς ἑαυτούς[326]) τε καὶ τὰ κρείττω ἐπιστροφῆς, καὶ γινόμεθα σύμφωνοι τῷ παντὶ, τὰς ἐν ἡμῖν περιόδους ταῖς τοῦ παντὸς ἐξομοιοῦντες, διὰ τοῦτο καὶ τὰς Μούσας ἀπὸ τῆς ζητήσεως ὀνομάζομεν. Αὐτὸς γὰρ ὁ Μουσηγέτης τὴν ἀλήθειαν ἐκφαίνει ταῖς ψυχαῖς κατὰ μίαν ἁπλότητα νοερὰν, αἱ δὲ Μοῦσαι τὰς ποικίλας ἡμῶν ἐνεργείας τὰς εἰς τὸ ἓν τὸ νοερὸν ἀναγούσας τελειοῦσιν. Ἔχουσι γὰρ αἱ ζητήσεις ὕλης λόγον, ὡς τὸ πρὸς τὸ ἀπὸ τῆς εὑρέσεως τέλος, καθάπερ καὶ τὸ πλῆθος πρὸς τὸ ἓν, καὶ ἡ ποικιλία πρὸς τὴν ἁπλότητα. Τὰς τοίνυν Μούσας ἐν μὲν ταῖς ψυχαῖς τὴν ζήτησιν τῆς ἀληθείας, ἐν δὲ τοῖς σώμασιν τὸ πλῆθος τῶν δυνάμεων, πανταχοῦ δὲ τὴν ποικιλίαν τῶν ἁρμονιῶν ἐνδιδούσας ἴσμεν.

ροη. Ὅτι ἡ Λητὼ[327]) πηγή ἐστι ζωογόνος ἐν τῇ Δήμητρι περιεχομένη[328]). διὸ καὶ τὰ παρ' ἡμῖν πάτρια τὴν αὐτὴν Δήμητρά τε καὶ Λητὼ θεραπεύουσι, την ἕνωσιν ἐνδεικνύμενα τῶν θεαινῶν. Πᾶν δὲ τὸ ζωογόνον φῶς ἐκπέμπει αὕτη ἡ θεὸς, φωτίζουσα τάς τε τῶν θεῶν νοερὰς οὐσίας καὶ τοὺς ψυχικοὺς διακόσμους, καὶ τελευταῖον τὸν οὐρανὸν τὸν αἰσθητὸν πάντα καταλάμπει ἀπογεννήσασα τὸ περικόσμιον φῶς, καὶ τούτου τὴν αἰτίαν ἱδρύσασα ἐν τοῖς παισὶν, Ἀπόλλωνι καὶ Ἀρτέμιδι, πᾶσι τὸ νοερὸν καὶ ζωογόνον φῶς ἐναστράπτουσα· ἀλλὰ καὶ ταῖς ψυχαῖς τὴν τῆς ἀρετῆς τελεσιουργίαν ἐνδίδωσι, καὶ τὴν ἔλλαμψιν τὴν ἀνάγουσαν αὐτὰς εἰς τὸ νοερὸν τοῦ πατρὸς, τῶν τε σκολιῶν ἀτραπῶν τῆς ὕλης ἀναρπάζουσα καὶ τῆς πολυπλόκου κακίας καὶ τῆς ἐν τῇ γενέσει τραχύ-

---

326) AB, ἑαυτόν.
327) Cf. Cratyl. §. 49.
328) Codd. περιεχόμενος.

τητος, πρὸς ἃ μοι δοκοῦσι καὶ οἱ θεολόγοι λέγοντες Λητὼ προσειπεῖν αὐτὴν, διά τε τὸ λεῖον τοῦ ἤθους πορίζειν ταῖς ψυχαῖς καὶ τὸ τῆς ἑκουσίου ζωῆς παρεκτικὸν, καὶ τῆς θείας ῥαστώνης χορηγόν. Ταῦτα γὰρ ἐνδίδωσι τοῖς εἰς αὐτὴν ἀνατεινομένοις ἄφατον ἐνέργειαν, ζωὴν ἀπήμονα καὶ πραότητα καὶ ἀταραξίαν καὶ γαλήνην νοεράν. Εἴτ' οὖν*) ἀπὸ τοῦ ἐθελουσίου Λητὼ κέκληται (λῶ γάρ ἐστι ῥῆμα δηλοῦν τὸ βούλομαι), εἴτ' ἀπὸ τοῦ λείου Λεητώ τις οὖσα, πάντως που δι' ἀμφοῖν τὰς τῆς θεοῦ δυνάμεις ἐνδείκνυται τὸ ὄνομα. Αἱ γὰρ ἠναγκασμέναι τῆς ψυχῆς ἐνέργειαι διὰ τὴν τραχύτητα συμβαίνουσι τὴν ἔνυλον, καὶ ἡ σκολιότης τῆς ἐν γενέσει ζωῆς τὴν ἑκούσιον ζωὴν ἐλαττοῖ τῶν ψυχῶν, ἡ δ' εἰς τοὺς θεοὺς ἄνοδος λείαν καὶ ἥμερον ἀντὶ σκληρᾶς καὶ τραχείας, καὶ βουλητὴν ἀντὶ ἀναγκαίας αὐταῖς παρέχεται ζωὴν, καὶ ἡ τούτων αἰτία θεὸς Λητὼ διὰ τοῦτο προσαγορεύεται. Τί οὖν δεῖ Λητὼ καλεῖν τὴν ὕλην ὡς εὐτράπελον καὶ ἐκμαγεῖον[329]) πᾶσι προκειμένην τοῖς εἴδεσιν, οἷον κάτοπτρον πάντων τὰς ἐμφάσεις δεχομένην, ὡς λήθης δὲ αἰτίαν τοῖς εἰς αὐτὴν ὁρῶσι; τί δὲ τὸν Ἀπόλλωνα ὡς ἐκ Λητοῦς ὑποστάντα καὶ Διὸς ἁρμονίαν δεῖ λέγειν; οὕτως γὰρ ἂν καὶ ὁ θεὸς οὗτος ἀχώριστος εἴη τῆς ὕλης, καὶ οὐχὶ αἴτιος τῆς ἐν τῷ παντὶ ἁρμονίας. Καίτοι πῶς δυνατὸν ποτὲ μὲν αὐτὸν τῷ [δημιουργῷ τὸν αὐτὸν ποιεῖν, ποτὲ δὲ τῆς ὕλης ἀχώριστον; Ἄμεινον οὖν λέγειν τὴν μὲν Λητὼ οὐχ ὑποδοχὴν τοῦ Ἀπόλλωνος, ἀλλὰ μητέρα καὶ πηγὴν αὐτὴν νοεῖν παντὸς ζωογονικοῦ φωτὸς, θέρμῃ τὰ πάντα σώζοντος, τὸν δ' Ἀπόλλωνα χωριστὸν ὄντα, χορηγὸν πάσης τῆς ἐναρμονίου ζωῆς καὶ πάντων τῶν ἐγκοσμίων λόγων, οἷς ἀλύτως συνδέδεται τὸ πᾶν· ἐπεὶ καὶ Λητὼ

*) His usus eram ad Gregorii Dialect. Dor. §. 63. pag. 252.

329) Codd. ἐμμαγεῖον.

καλεῖν τὴν μεγίστην ταύτην θεὸν ὡς ἀπὸ τῆς λήθης, ὁ μὲν Σωκράτης ἴσως διὰ τὸ τοῦ νέου ἀτελὲς ἐφυλάξατο, λέγοιτο δ᾽ αὖ καὶ τοῦτο ἐπ᾽ αὐτῆς κυρίως, λήθην τῶν κακῶν ταῖς ψυχαῖς ἐμποιούσης, καὶ τῆς ἐν τῇ γενέσει ταραχῆς καὶ κλύδωνος, ὧν ἔτι μνήμην φέρουσαν τὴν ψυχὴν ἀδύνατον ἐνιδρυθῆναι τοῖς νοητοῖς. Ἄγει γὰρ ἡ μνήμη πρὸς τὸ μνημονευτὸν, φησὶ Πλωτῖνος, καὶ ὥσπερ ἡ Μνημοσύνη τὴν μνήμην τῶν νοητῶν ἀνεγείρει, οὕτως καὶ ἡ Λητὼ τὴν λήθην δωρεῖται τῶν ἐνύλων.

ροθ´. Ὅτι τῆς δεσποίνης ἡμῶν Ἀρτέμιδος τρεῖς ὁ Πλάτων[330]) παραδίδωσιν ἰδιότητας, τήν τε ἄχραντον καὶ τὴν κόσμιον καὶ τὴν ἀναγωγόν· καὶ διὰ μὲν τὴν πρώτην παρθενίας ἐρᾶν λέγεται ἡ θεὸς, διὰ δὲ τὴν δευτέραν, καθ᾽ ἣν τελεσιουργὸς, ὡς ἀρετῆς ἔφορος, εἶναι λέγεται, διὰ δὲ τὴν τρίτην, καθ᾽ ἣν μισῆσαι λέγεται τὰς γενεσιουργοὺς ὁρμάς. Καὶ μάλιστα τῶν τριῶν ἡ πρώτη ἐφαρμόζει τῇ τῆς[331]) θεοῦ προόδῳ, καθ᾽ ἣν ἐν τῇ ζωογόνῳ τῶν ἀρχῶν τριάδι τὴν ὕπαρξιν ἔλαχεν, εἴτε Ἑκατικὴ προσαγορευομένη θεότης, ὡς οἱ θεουργοί φασιν, εἴτε Ἄρτεμις, ὡς Ὀρφεύς. Ἐκεῖ γὰρ ἱδρυμένη πεπλήρωται μὲν ἀχράντων δυνάμεων ἀπὸ τῶν ἀμειλίκτων θεῶν, εἰς δὲ τὴν τῆς ἀρετῆς βλέπει πηγὴν καὶ τὴν παρθενίαν αὐτῆς ἀσπάζεται. Καὶ γὰρ ἐκείνη τὸ παρθένιον[332]) οὐ προΐησιν, ὥς φησι τὸ λόγιον· νοοῦσα δ᾽ ἐκείνην ὑφίστησιν καὶ τὴν[333]) ἀρχικὴν ἀρετὴν, καὶ ἐξῄρηται πάσης κοινωνίας καὶ συζεύξεως, καὶ τῆς κατὰ τὴν γένεσιν προόδου· ὅθεν δὴ καὶ ἡ Κόρη κατὰ μὲν τὴν Ἄρτεμιν τὴν ἐν ἑαυτῇ καὶ τὴν Ἀθηνᾶν, παρθένος λέγεται μένειν, κατὰ δὲ τὴν τῆς Περσεφόνης γόνιμον

---

330) Cratyl. §. 50. Hoc Procli caput adtulit Werfer. in Actis Philol. l. c. p. 144. et nonnulla notavit.

331) Codd. τοῦ. Et Werfer. τοῦ.

332) AB, τὸ παρθένον. Werfer. παρθένιον.

333) AB, καὶ οὐ τήν.

δύναμιν καὶ προσιέναι καὶ συνάπτεσθαι τῷ τρίτῳ δημιουργῷ καὶ τίκτειν, ὥς φησιν Ὀρφεὺς,

Ἐννέα θυγατέρας γλαυκώπιδας ἀνθεσιουργούς·

ἐπεὶ ἥ γε Ἄρτεμις ἡ ἐν αὐτῇ καὶ ἡ Ἀθηνᾶ τὴν παρθενίαν ἀεὶ τὴν αὐτὴν διασώζουσι. Καὶ γὰρ ἡ μὲν κατὰ τὸ μόνιμον αὐτῆς, ἡ δὲ κατὰ τὸ ἐπιστρεπτικὸν χαρακτηρίζεται· τὸ δὲ γεννητικὸν μέσην ἐν αὐτῇ τάξιν ἔλαχεν. Ἐπιθυμεῖν δ' αὐτὴν τῆς παρθενίας φασὶν, ἐπειδὴ τὸ εἶδος αὐτῆς ἐν τῇ ζωογόνῳ περιέχεται πηγῇ, καὶ νοεῖ τὴν πηγαίαν ἀρετὴν, καὶ ὑφίστησι τὴν ἀρχικὴν καὶ ἀναγωγὸν, καὶ τὴν ἔνυλον ἀτιμάζει πᾶσαν μίξιν, καίτοι ἐφορῶσα τοὺς καρποὺς τῆς τοιαύτης ἐνύλου μίξεως·

ἀτελὴς[334]) γάμων καὶ ἄπειρος ἐοῦσα
Παιδογόνου λοχίης[335]) πάσης ἀνὰ πείρατα λύει,

φησὶν Ὀρφεὺς, καὶ ἔοικε τὰς μὲν γενέσεις καὶ τὰς προόδους τῶν πραγμάτων ἐκτρέπεσθαι, τὰς δὲ τελειότητας ἐπιφέρειν αὐτοῖς, καὶ τὰς μὲν ψυχὰς διὰ τῆς κατ' ἀρετὴν ζωῆς τελεσιουργεῖν, τοῖς δὲ θνητοῖς ζώοις τὴν εἰς τὸ εἶδος ἀποκατάστασιν χορηγεῖν. Ὅτι δὲ πολλὴ τῆς Ἀρτέμιδος καὶ ἡ πρὸς τὴν ἐγκόσμιον Ἑκάτην[336]) ἕνωσις καὶ ἡ πρὸς τὴν Κόρην, φανερὸν τοῖς καὶ ὀλίγα τῷ Ὀρφεῖ παραβεβληκόσιν, ἐξ ὧν δηλονότι καὶ ἡ Λητὼ περιέχουσα ἐν τῇ Δήμητρι τῇ καὶ τὴν Κόρην ὑποστησάσῃ τῷ Διῒ, καὶ τὴν ἐγκόσμιον Ἑκάτην, ἐπεὶ καὶ τὴν Ἄρτεμιν Ἑκάτην[337]) Ὀρφεὺς κέκληκεν,

Ἡ δ' ἄρα δι'[338]) Ἑκάτη παιδὸς μέλη αὖθι λιποῦσα
Λητοῦς εὐκλοπάμοιο κόρη προσεβήσατ' Ὄλυμπον·

ὥστ' οὐδὲν θαυμαστὸν, εἰ καὶ τὴν ἐν τῇ Κόρῃ Ἄρτεμιν, Ἑκάτην ἐν ἄλλοις κεκλήκαμεν. Καὶ ὁ Πλάτων

---

334) Forte, *ἀτελής τε:* quod nunc e conjectura video editum a Werfero.

335) AB, *λογχίας*.

336) Codd. *ἑκάστην*. Cf. supra c. 170.

337) Et hic codd. *ἑκάστην*.

338) Codd. *δι'*.

ἐν τούτοις ὑμνήσας διὰ τῶν τριῶν ἐπιβολῶν φήσειεν ἂν, ὅτι ἡ μὲν τούτων τι, ἡ δὲ πάντα σημαίνει. Ἡ μὲν γὰρ πρώτη διὰ πάντα, αἱ δὲ μετ' αὐτὴν, ἅτε καὶ μερικωτέραν τάξιν λαχοῦσαι, δι' ἕν τι κεκλῆσθαι οὕτως ῥηθεῖεν ἂν καθ' ὃ μάλιστα χαρακτηρίζονται.

ρπ'. Ὅτι συνέταξε[339]) τὸν ἐγκόσμιον Διόνυσον τῇ ἐγκοσμίᾳ Ἀφροδίτῃ, διὰ τὸ ἐρᾷν αὐτοῦ καὶ εἴδωλον πλάττειν αὐτοῦ τὸν πολυτίμητον Κίλιξι καὶ Κυπρίοις Ἄδωνιν, καὶ δηλονότι τὸν τῆς Ἀφροδίτης τοιοῦτον ἔρωτα ἀγαθοειδῆ καὶ προνοητικὸν ὑποληπτέον, ὡς παρὰ κρείττονος θεοῦ πρὸς καταδεέστερον ἐπιτελούμενον.

ρπα'. Ὅτι ὁ μὲν νεανίσκος ὡς περὶ σμικρῶν δοκεῖ ἐρωτᾷν τὰ περὶ τὸν δεσπότην Διόνυσον, διὸ καὶ ἐπιστομίζεται ὑπὸ Σωκράτους, καὶ περὶ μὲν τῶν κρυφίων προόδων τῶν θεῶν οὐκ ἀκούει, περὶ δὲ τῶν τελευταίων μόνον[340]) καὶ ἐγκοσμίων, καὶ ταῦτα μὲν ἀποσεμνύνει ὁ σοφὸς, καίτοι, ὥς φησι, παίγνια ὄντα διὰ τὸ φιλοπαίσμονας *) εἶναι τοὺς θεοὺς τούτους. Ὡς γὰρ τὰ τῶν ἄλλων θεῶν πέρατα φοβερὰ ὄντα καὶ τιμωρητικὰ καὶ κολαστικὰ, τελεσιουργὰ λέγει τῶν ψυχῶν, οἷον ὅτι ἕπεται τῷ Διῒ Δίκη τοῦ θείου νόμου τιμωρὸς, καὶ τοῖς μὲν κεκοσμημένοις καὶ κατὰ νοῦν ζῶσιν εὐμαρὴς[341]) ἐστιν ἡ θεὸς αὕτη, τοῖς δ' ὑβρισταῖς καὶ ἀμαθίᾳ τὸν βίον συμφέρουσι τὴν ζημίαν ἐπιβάλλει, ἕως ἂν αὐτοὺς καὶ οἴκους καὶ πόλεις ἄρδην ἀφανίσῃ· οὕτως τὰ τοῦ Διονύσου καὶ Ἀφροδίτης πέρατα γλυκυθυμίαν ἐμποιοῦντα ἀποσεμνύνει, πανταχοῦ διακαθαίρων ἡμῶν τὰς περὶ θεῶν ἐννοίας καὶ νοεῖν παρασκευάζων, ὅτι πάντα πρὸς τὸ ἄριστον ἀφορᾷ τέλος, ὁποῖα ἂν ᾖ. Διότι γὰρ τὴν τῆς θνητῆς φύσεως ἀσθένειαν ἀναρρώννυσι,

---

339) Cf. Cratyl. §. 50.

340) V, *μόνων*.

*) Codd. sic, ut et infra. Plato habet *φιλοπαίγμονες*.

341) Codd. *εὐμερής*. f. et *εὐμενής*.

καὶ ἀνακτᾶται τὴν δυσχέρειαν τῆς σωματικῆς ζωῆς, διὰ τοῦτο φιλοπαίσμονες οἱ τούτων αἴτιοι θεοί· ὅθεν δὴ καὶ τῶν ἀγαλμάτων τὰ μὲν οἷον γελῶντα καὶ ἀνειμένα καὶ χορεύοντά πως ποιοῦσιν, τὰ δ' αὐστηρὰ καὶ καταπληκτικὰ τῶν ὁρώντων καὶ βλοσυρὰ, ἀναλόγως ταῖς τῶν θεῶν λήξεσι τοῖς ἐγκοσμίοις.

ρπβ'. Ὅτι*) τὸν δεσπότην ἡμῶν Διόνυσον οἱ θεολόγοι πολλάκις καὶ ἀπὸ τῶν τελευταίων αὐτοῦ δώρων οἶνον καλοῦσιν, οἷον Ὀρφεύς·

Οἴνου δ' ἀντὶ μιῆς τριπλῆν μετὰ ῥίζαν ἔθεντο·

καὶ πάλιν·

Οἴνου πάντα μέλη κόσμῳ λάβε καί μοι ἔνεικε·

καὶ αὖθις·

Οἴνῳ ἀγαιομένη κούρῳ Διός.

Εἰ δὲ αὐτὸς ὁ θεὸς οὕτως καλεῖται, δῆλον ὅτι καὶ αἱ πρῶται καὶ αἱ μέσαι αὐτοῦ ἐνέργειαι οὕτως ἂν ὀνομάζοιντο, ὥσπερ ἡ τελευταία, ὥστε εἰς τοῦτο νῦν βλέπων ὁ Σωκράτης[342]) Διδοίνυσον καλεῖ τὸν θεὸν ἐκ τοῦ οἴνου ὁρμώμενος, ὅστις, ὡς εἴρηται, πασῶν ἐστι δηλωτικὸς τῶν τοῦ θεοῦ δυνάμεων· ὥσπερ καὶ ἐν Φαίδρῳ τὸν μέγαν Ἔρωτα κοινῶς λέγει τόν τε θεῖον καὶ τὸν φιλοσώματον. Ὁ οὖν οἶνος οὕτως κοινῶς ἐξακουόμενος τὴν ἰδιότητα τοῦ μερικοῦ νοῦ παρίστησιν ἡμῖν. Τὸ γὰρ οἰοῦν οὐκ ἄλλο τί ἐστιν ἢ τὸ διῃρημένον ἀπὸ τοῦ ὅλου καὶ μετεχόμενον ἤδη νοερὸν εἶδος καὶ οἷον μόνον γενόμενον· ὁ μὲν γὰρ παντελὴς νοῦς, πάντα τ' ἐστὶν καὶ ἐνεργεῖ κατὰ πάντα ὡσαύτως· ὁ δὲ μερικὸς καὶ μετεχόμενος πάντα μὲν, ἀλλὰ καθ' ἓν εἶδος τὸ αὐτῷ πάντων προβεβλημένον, οἷον τὸ ἡλιακὸν, ἢ τὸ σεληνιακὸν, ἢ τὸ Ἑρμαϊκόν· τοῦτο δ' οὐ τὸ ἴδιον καὶ διακριθὲν ἀπὸ τῶν λοιπῶν ὁ οἶνος ἐνδείκνυται, σημαίνων τὸν οἷον καί τινα νοῦν. Ἐπειδὴ τοίνυν ἡ μεριστὴ δη-

*) Ap. Werfer. l. c. p. 148. hinc ad κούρῳ Διός.

342) Cratyl. §. 50.

μιουργία πᾶσα τῆς Διονυσιακῆς ἐξήρτηται μονάδος, διαιροῦσα τοὺς μὲν μεθεκτοὺς ἐν τῷ κόσμῳ νόας ἀπὸ τοῦ ὅλου νοῦ, τὰς δὲ πολλὰς ψυχὰς ἀπὸ τῆς μιᾶς, τὰ δ' εἴδη τὰ αἰσθητὰ πάντα ἀπὸ τῶν οἰκείων ὁλοτήτων, διὰ δὴ τοῦτο καὶ αὐτὸν τὸν θεὸν οἶνον προειρήκασιν οἱ θεολόγοι αὐτόν τε καὶ πάντα τὰ δημιουργήματα αὐτοῦ· πάντα γὰρ ἔγγονα τοῦ νοῦ· καὶ τὰ μὲν πορρώτερον, τὰ δὲ ἐγγύτερον μετέχει τῆς μεριστῆς τοῦ νοῦ διανομῆς. Ἀναλόγως οὖν ἐν τοῖς οὖσιν ὁ οἶνος ἐγγινόμενος ἐνεργεῖ, ἐν μὲν τῷ σώματι εἰδωλικῶς κατὰ οἴησιν καὶ φαντασίαν ψευδῆ, ἐν δὲ τοῖς νοεροῖς τὸ κατὰ νοῦν ἐνεργεῖν καὶ δημιουργεῖν, ἐπεὶ καὶ ἐν τῇ διασπαράξει τῶν Τιτάνων μόνη ἡ καρδία*) ἀδιαίρετος μεῖναι λέγεται, τουτέστιν ἡ ἀμερὴς**) τοῦ νοῦ οὐσία.

ρπγ'. Ὅτι ἐκ τῶν παιγνιωδῶν ἐννοιῶν τῶν περὶ θεοὺς καὶ ἐνθεάζειν δυνατὸν νοερώτερον τοῖς πράγμασιν ἐπιβάλλοντας. Φέρε γὰρ κατὰ τὰς ἐνύλους τῶν πολλῶν ἐπιβολὰς εἶναι Ἀφροδίτην τὴν ἐκ τοῦ ἀφροῦ τὴν γένεσιν ἔχουσαν, καὶ τὸν μὲν ἀφρὸν εἶναι τὴν τοῦ σπέρματος ἀπόκρισιν, τὴν δ' ἐκ ταύτης ὑφισταμένην ἐν ταῖς μίξεσιν ἡδονὴν Ἀφροδίτην εἶναι· τίς οὖν τοσοῦτόν ἐστιν εὐήθης, ὅστις οὐ πρὸ τῶν ἐσχάτων καὶ φθαρτῶν τὰ πρῶτα καὶ ἀΐδια αἴτια θεωρήσειεν; Διὰ γὰρ τοῦτο καὶ ὁ Σωκράτης τὸν Ἡσίοδον 343) μαρτύρεται, ἵνα τῆς ἐνθεαστικῆς ἡμᾶς ἐπιβολῆς ἀναμνήσῃ, τὴν δεδημευμένην***) αὐτοῦ κάτω καταλιπόντας. Τί οὖν ἐστὶν ἡ τοιαύτη θεία ἐπιβολή, εἰρήσθω. Γεννᾶσθαι †) μὲν οὖν τὴν πρωτίστην Ἀ-

*) Rem multi scriptores tradiderunt: cf. omnino Lobeck Diatr. de Morte Bacchi init.

**) Codd. ἀμερίς.

343) Cratyl. §. 50.

***) Codd δὲ δημευμένην.

†) Ab γεννᾶσθαι ad Ἀφρογενῆ adposuit Werfer. in Actis l. c. p. 149.

φροδίτην φασὶν ἀπὸ διττῶν αἰτίων, τοῦ μὲν, ὡς δι' οὗ, τοῦ δὲ, ὡς γεννητικοῦ· τὸν μὲν γὰρ Κρόνον αὐτῆς, ὡς τὸ δι' οὗ, τῇ προόδῳ συνεργεῖν, ὡς τὴν γόνιμον δύναμιν τοῦ πατρὸς καλούμενον*), καὶ εἰς τοὺς νοεροὺς διακόσμους ἐκδιδόντα, τὸν δ' Οὐρανὸν, ὡς ποιητὴν καὶ αἴτιον, ἐκ τῆς ἑαυτοῦ γεννητικῆς περιουσίας ἐκφαίνοντα τήνδε τὴν θεόν. Καὶ πόθεν γὰρ ἄλλοθεν ἔδει τὴν συναγωγὴν[344]) τῶν διαφερόντων γενῶν κατὰ μίαν ἔφεσιν τοῦ κάλλους λαβεῖν τὴν ὑπόστασιν, ἢ ἐκ τῆς συνοχικῆς τοῦ Οὐρανοῦ δυνάμεως; Παράγει οὖν αὐτὴν ὁ Οὐρανὸς ἐκ τοῦ ἀφροῦ τῶν γονίμων ἑαυτοῦ μορίων ῥιφέντος εἰς τὴν θάλασσαν, ὥς φησιν Ὀρφεύς·

Μήδεα δ' ἀμπέλαγος[345]) πέσεν ὑψόθεν, ἀμφὶ δὲ τοῖσι
Λευκὸς ἐπιπλώουσιν ἑλίσσετο πάντοθεν ἀφρός·
Ἐν δὲ περιπλομέναις ὥραις ἐνιαυτὸς ἔτικτεν
Παρθένον αἰδοίην, ἣν δὴ παλάμαις ὑπέδεκτο
γεινομένην τὸ πρῶτον ὁμοῦ Ζῆλός τ' Ἀπάτη τε.

Τὴν δὲ δευτέραν Ἀφροδίτην παράγει μὲν ὁ Ζεὺς ἐκ τῶν ἑαυτοῦ γεννητικῶν δυνάμεων, συμπαράγει δ' αὐτῷ καὶ ἡ Διώνη, πρόεισι δ' ἡ θεὸς ἐκ τοῦ ἀφροῦ κατὰ τὸν αὐτὸν τῇ πρεσβυτέρᾳ τρόπον. Λέγει δ' οὕτως καὶ περὶ ταύτης ὁ αὐτὸς θεολόγος·

Τὸν δὲ πόθος πλέον εἷλ', ἀπὸ δ' ἔκθορε πατρὶ μεγίστη**)
Αἰδοίων ἀφροῖο γονὴ, ὑπέδεκτο δὲ πόντος
Σπέρμα Διὸς μεγάλου· περιτελλομένου δ' ἐνιαυτοῦ,
Ὥραις καλλιφύτοις τέκ' ἐγερσιγέλωτ' Ἀφροδίτην
Ἀφρογενῆ.

---

*) Werfer. edidit e conjectura *κληρούμενον*, ad sensum bene.

344) AB, *συναγωγήν*. V, *γυναγωγόν*.

345) Codd. AB, *ἐνπέλαγος*. V, *δὲ πέλαγος*. — V, *ἀμφοῖν* pro *ἀμφί*. Werfer. *ἐς πέλ*.

**) Werfer. *μεγίστῳ*.

Διαφέρουσι*) μὲν οὖν ἀλλήλων αἱ θεαὶ κατά τε τὰ αἴτια καὶ κατὰ τὰς τάξεις[346]) καὶ κατὰ τὰς δυνάμεις. Ἡ μὲν γὰρ ἐκ τοῦ οὐρανοῦ ὑπερκόσμιός ἐστιν καὶ ἀναγωγὸς ἐπὶ τὸ νοητὸν κάλλος, καὶ ἀχράντου ζωῆς χορηγὸς, καὶ γενέσεως χωρίζει· ἡ δὲ διαιωνία[347]) ἐπιτροπεύει πάσας τὰς ἐν τῷ οὐρανίῳ κόσμῳ καὶ γῇ συστοιχείας καὶ συνδεῖ πρὸς ἀλλήλας, καὶ τελειοῖ τὰς γεννητικὰς αὐτῶν προόδους διὰ τῆς ὁμονοητικῆς συζεύξεως. Συνήνωνται δ' ἀλλήλαις κατὰ τὴν ὁμοιότητα τῆς ὑποστάσεως· ἐκ γὰρ τῶν γεννητικῶν δυνάμεων προῆλθεν, ἡ μὲν τοῦ συνοχέως, ἡ δὲ τοῦ δημιουργοῦ. Δηλοῖ δ' ἡ θάλασσα τὴν ἡπλωμένην καὶ ἀπεριόριστον ζωὴν, καὶ τὸ βάθος αὐτῆς τὸ ἐπὶ πᾶν προϊὸν, ὁ δ' ἀφρὸς τὸ καθαρώτατον καὶ φωτὸς γονίμου πλῆρες καὶ δυνάμεως, καὶ ἐπινηχόμενον πάσῃ τῇ ζωῇ καὶ οἷον ἄνθος αὐτῆς τὸ ἀκρότατον. Πέφηνεν οὖν ἡ Ἀφροδίτη πάσης οὖσα τῆς ζωῆς τὸ ἑνοειδέστατον καὶ καθαρώτατον.

ρπδ'. Ὅτι Ἀθηνᾶν καὶ Ἥφαιστον καὶ Ἄρεα συνέταξεν[348]), διά τε τὸ κοινὸν πρὸς τὰ πολεμικὰ, καὶ διὰ τὸ ὁμότεχνον πρὸς ἑκάτερον τῆς Ἀθηνᾶς, καὶ διὰ τὸ τῆς αὐτῆς Ἀφροδίτης ἐρᾷν ἑκάτερον, καὶ ὅτι ἐξ Ἥρας ἑκάτερος ἐτέχθη καὶ Διός.

ρπε'. Ὅτι οἱ θεολόγοι δύο μάλιστα δυνάμεις ἀνυμνοῦσι τῆς δεσποίνης ἡμῶν Ἀθηνᾶς, τήν τε φρουρητικὴν καὶ τὴν τελεσιουργὸν, τὴν μὲν ἄχραντον φυλάττουσαν τὴν τάξιν τῶν ὅλων καὶ ἀκαταγώνιστον ὑπὸ τῆς ὕλης, τὴν δὲ πάντα πληροῦσαν νοεροῦ φωτὸς καὶ ἐπιστρέφουσαν εἰς τὴν ἑαυτῶν αἰτίαν. Διὸ καὶ ὁ Πλάτων ἀναλόγως ἐν**) Τιμαίῳ φιλοπόλεμόν τε

*) Ap. Creuzer. in Melet. t. 1. p. 27. ab διαφέρ. ad συζεύξεως.

346) AB, πράξεις. Cf. c. 175.

347) B, διάωνια. Creuzer. legendum monet Διωναία.

348) Cratyl. §. 51.

**) Plat. Tim. §. 9. Cf. Procl. in Tim. p. 48. 51.

*καὶ φιλόσοφον ἀνυμνεῖ τὴν Ἀθηνᾶν. Αἱ*) δὲ τάξεις αὐτῆς τρεῖς παραδέδονται· μία μὲν ἡ πηγαία καὶ νοερά, καθ' ἣν ἵδρυσεν ἑαυτὴν ἐν τῷ πατρὶ, καὶ ἔστιν ἀνεκφοίτητος ἐκεῖθεν· δευτέρα δ' ἡ ἀρχικὴ, καθ' ἣν τῇ Κόρῃ σύνεστι, καὶ πᾶσαν αὐτῆς περατοῖ τὴν πρόοδον καὶ ἐπιστρέφει πρὸς ἑαυτήν· τρίτη δ' ἡ ἀπόλυτος, καθ' ἣν πάντα τὸν κόσμον τελειοῖ καὶ φρουρεῖ καὶ περικαλύπτει ταῖς ἑαυτῆς δυνάμεσι, πάσας συνέχουσα τὰς ἐγκοσμίους ἀκρότητας, καὶ πάσας ὑφιστᾶσα τὰς ἐν οὐρανῷ λήξεις αὕτη καὶ τὰς ὑπὸ σελήνην προελθούσας. Νῦν οὖν ὁ Σωκράτης τὴν μὲν φρουρητικὴν διὰ τοῦ τῆς Παλλάδος ἀνυμνεῖ ὀνόματος, τὴν δὲ τελεσιουργὸν διὰ τοῦ τῆς Ἀθηνᾶς. Τὴν οὖν εὔρυθμον[349]) χορείαν διὰ τῆς κινήσεως ὑποφαίνει, ἧς καὶ μεταδέδωκεν πρώτη[350]) μὲν τῇ Κουρητικῇ τάξει, δευτέρως δὲ καὶ τοῖς ἄλλοις θεοῖς. Ἔστι γὰρ**) ἡ θεὸς κατὰ ταύτην τὴν δύναμιν ἡγεμὼν τῶν Κουρήτων, ὥς φησιν Ὀρφεύς· ὅθεν δὴ καὶ τοῖς ἐμπυρίοις ὅπλοις κεκόσμηται, καθάπερ ἐκεῖνοι, δι' ὧν ἀναστέλλει[351]) πᾶσαν ἀταξίαν, καὶ φυλάττει τὴν δημιουργικὴν τάξιν ἀκίνητον, καὶ τὴν ὄρχησιν διὰ τῆς εὐρύθμου † κινήσεως ἐκφαίνει· τὸν δὲ λόγον τὸν ἀπὸ νοῦ προϊόντα φρουρεῖ κατακρατοῦντα[352]) τῆς ὕλης δι' αὐτήν· μέμικται γάρ φησιν ὁ Τίμαιος †† τὸ πᾶν ἐκ νοῦ καὶ ἀνάγκης, πειθομένης τῷ νῷ τῆς ἀνάγκης καὶ τῶν ἐνύλων πάντων αἰτίων ὑπεσταλμένων πρὸς τὴν βούλησιν τοῦ πατρός. Ἡ τοίνυν ὑποτάττουσα τὴν ἀνάγ-*

---

*) Ap. Creuzer. in Melet. t. 1. p. 25. ab *αἱ* ad *τῆς Ἀθηνᾶς.*

349) VB, *ἔνρυθμον.* Supra AB, *ἐφιστᾶσα.*

350) AB, *πρωτίστη.*

**) Ab *ἔστι γὰρ* ad *ὕλης δι' αὐτὴν* ap. Werfer. in Actis l. c. p. 155

351) V. *ἀνατέλλει.*

†) V, *ἐνρύθμου*, et sic Werfer.

352) AB *καὶ κρατοῦντα.*

††) Timaeus de An. Mundi l. 1.

κην τῇ ποιήσει τοῦ νοῦ, καὶ ἐπαίρουσα[353]) τὸ πᾶν εἰς τὴν τοῦ θεοῦ μετουσίαν, καὶ ἀνεγείρουσα καὶ ἐνιδρύουσα τῷ ὅρμῳ τοῦ πατρὸς, καὶ φρουροῦσα διαιωνίως ἡ θεός ἐστιν αὕτη· κἂν ἄλυτον δὲ λέγηται τὸ πᾶν, αὕτη τῆς αὐτοῦ διαμονῆς[354]) χορηγὸς, κἂν χορεύειν[355]) εἰς ἅπαντα τὸν χρόνον[356]), καθ᾽ ἕνα λόγον καὶ μίαν τάξιν αὕτη τῆς χορηγίας προστάτης. Πᾶσαν οὖν τὴν δημιουργίαν ἐφορᾷ τοῦ πατρὸς καὶ συνέχει καὶ ἐπιστρέφει πρὸς αὐτὸν, καὶ καταγωνίζεται πᾶσαν τὴν ἔνυλον ἀοριστίαν· διὸ καὶ Νίκη προσηγόρευται καὶ Ὑγίεια, τὸν μὲν νοῦν κρατεῖν ποιοῦσα τῆς ἀνάγκης, καὶ τὸ εἶδος τῆς ὕλης, ὅλον δ᾽ ἀεὶ καὶ τέλειον καὶ ἀγήρων καὶ ἄνοσον διαφυλάττουσα τὸ κόν. Οἰκεῖον οὖν τῆς θεοῦ ταύτης καὶ τὸ ἀνάγειν, καὶ μερίζειν, καὶ διὰ τῆς νοερᾶς χορείας συνάπτειν τοῖς θειοτέροις, καὶ ἐνιδρύειν καὶ φρουρεῖν*) ἐν * * * *

---

353) Codd. ἐπαίροντα.
354) B, διαμονῶς.
355) B, καὶ χωρεύειν.
356) Hic deficiunt A et B. Quae sequuntur descripsi ex Vat. qui ipse in fine mutilus est.
*) Haec ultima συνάπτειν -- φρουρεῖν allegavit Creuzer. ad Plotin. de Pulchr. p. 177.

# I.

## Indiculus Scriptorum a Proclo laudatorum.

(Numeri non paginas indicant, sed capita.)

Aeschines 21.
Amelius 104.
Anonymi 86. 103. 105. 173.
Antisthenes 37.
Aristoteles 4. 16. 36. 45. 47. 49. 56. 58. 70.
Astrologi 28.
Democritus 16.
Dionysius 83.
Epicurus 16. 17.
Euripides 83.
Heraclitus 22. 141.
Hesiodus 115. 140. 166. 183.
Homerus 53. 68. 70. 76. 93. 97. 114. 157. 167. 168.
Iamblichus 104.
Marcus Antoninus 122.
Oracula 52. 70. 99. 105. 107. 115. 125. 142. 154. 167. 173. 175. 179.
Orpheus 53. 61. 70. 97. 99. 103. 107. 109. 125. 140. 149. 166. 167. 173. 179. 182. 183.
Orphici 109.
Plato 29. 36. 61. 70. — In Minoe 51; Gorgia 4. 51. 99; Phaedro 4. 9. 51. 85. 91. 100. 109. 113. 115. 126. 161. 164. 181. 187; Parmen. 7. 70. 99. 109; Theaetet. 22; Philebo 2. 30. 36. 168; Republ. 2. 9. 34. 96. 97. 109. 121. 126. 164. 175. 184; Legg. 51. 100. 117; Euthyphr. 116; Tim. 51. 52. 90. 97. 98. 109. 143. 175. 185. Sophist. 9; Politic. 9.
Plotinus 178.
Pythagoras 16.
Theognis 103.
Theophrastus 16.
Theurgi 52. 122. 173. 175. 179.
Theologi 53. 55. 74. 109. 113. 129. 145. 166. 173. 178. 182. 185.

# II.

## Indiculus Rerum ac Verborum.

(Numeri non paginas indicant, sed capita.)


Ἀγαμέμνων unde sic dictus 88.
Ἄιδης 152.
Adonis 180.
Ἀθηνᾶ 53. 73. 184. 185. dicta Νίκη et Ὑγίεια 185.
ἀθῷος 83.
ἀκάρδιος 83.
ἀκινάκης 83.
Amor σοφιστής 158.
Amoris parentes qui? 119.
ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται 156.
ἄνθος νοῦ 96.
ἄνθρωπος 16.
Anima mundi 100.
Animae humanae conditio ante nativitatem 35. — post mortem 159. — elementa 16.
Apollo 136. 171. 172. 173. 174. 175. 178.
Apollinis catena 15.
ἀρεταῖος 83.
Ἄρης 184.
Ἄρτεμις 170. 179.
ἀφομοιωτικὸς, ἀφομοιωματικός 1.
Ἀφροδίτη 180. 183.
ἄφωνος 83.
ἀχήν 83.
γάμος quid Theologis 145.
δ et σ permutata 128.
δαίμονες 72. 117. 128. 131.
δακρυόφιν 83.
Definiendi modi 9.
Democriti sententia de nominibus 16.
Deorum quidam non incorporei 72.
Δημήτηρ 163 sq. 178.
Δημήτραν 166.
διαλεκτικὴ θριγκὸς οὖσα τῶν μαθημάτων 2. — διαλεκτικῆς προβολεὺς νοῦς 3. Dialectica et Rhetorica utrum ars una, an artes binae 4.
Διόνυσος 180. 182.
διόνυσος vinum 83.
δὶς ἐπέκεινα 99.
δραχμή 83.
ε olim pro ε et ει et η 84.
ἔγγονος et ἔκγονος 1.
Ἑκάτη et ἑκάστη 170.
ἐκμαγεῖον 83.
ἔλαβεν et ἔλαχεν 46
Ἐννοσίγαιος 149.
ἐπιθυμία 155.
Ἑρμαϊκὴ σειρά 25.
Ἑρμῆς 21. 25. 28. 117.
Ἑρμοῦ δῶρα 28.


I

"Ἔρως 16. — σοφιστής 158.
"Ἔρως filius Pori et Peniae 119.
'Ἑστία 138.
Etymologicum studium 83.
Ζεύς 99. 101. 102. 147. 160. 168.
τὸ ζητεῖν unde 25.
ζωγράφος 83.
ἡμέρα 84.
'Ἡρακλῆς 79.
'Ἡρακλῆς unde dictus 125.
Heracliti sectatores 14. 22.
"Ἥρωες unde dicti 117. 119.
Hermogenes 21.
"Ἥφαιστος 184.
θαλλός 83.
θεός unde dictus 126.
Theophylactus Simocatta' 46.
Theseus 123.
θριγκός 2.
Ibyci dictum 95.
Iuno 168. 169.
κακόφρων 83.
καλαμοθήρας 83.
κάνδυς 83.
κέραμος 83.
Circe 53.
κλιματάρχαι θεοί 56.
κομψός 120.
κόρος τίκτει ὕβριν 103.
κορυφὴ ὄρους 83.
Cratylus 18.
Κρόνος 103. 105. 106. 107. 108. 109. 110. 111. 115. 144. 147.
Cyclopes 53.
λήθης ὕδωρ 2.
Λητώ 178.
Lingua deorum et hominum ap. Homerum 10. 70.
λῶ 178.
Lunae facies 76.
μαλερός 83.
Μελέαγρος 83.
μένανδρος, ἡ παρθένος 83
μέροψ 16.
Minervae et Minervales genii 73.
μονάδες ζωογονικαί 170.
Mors non timenda 154.
Μυρίνη et Βατίεια 70.
Musae 176. 177.
Necessitas et voluntas deorum concurrunt 156.
νεομηνία 83.
Nominum theoria utilis 6. 7.
νόμος καὶ φύσις 51.
νοῦς προβολεὺς τῆς διαλεκτικῆς 3.
Numeri theoria Pythagorica 16.
Nymphae 118.
Ξάνθος amnis 70.
o olim pro ου et ω 84.
ὀβολός 83.
Oceanus 143. 145.
Oceanus. Cur ex eo sol oriri dictus 148.
ὀδόντες, ἔδοντες 83.
ὀνομάζειν qui sit λέγειν 45.
'Ὀρέστης unde sic dictus 86.
Οὐρανός 108. 109.
Παλλάς 185.
Πᾶνες, Πανικοὶ δαίμονες 73.
παρά τι in derivatione nominum 86.
Περσεφόνη dicta Κόρη, "Ἄρτεμις, 'Ἀθηνᾶ, 'Ἑκάτη 170. 171. 172. 179.
πηγαῖοι dii 142.
Plato, prius Aristocles dictus 123.
Plato μιμητικώτατος 14.
Platonis scopus in Cratylo 1. 2. 7. 165. in Parmenide 7.
Plotinus 119.
Pluto 149. 152. 153. 161.
Pluto σοφιστής 152. 158.
Ποσειδῶν 149. 150. 151. 162.
ποτήριον 83.
πρᾶξις et τάξις 175.
πράττειν et ποιεῖν 43.
Prodicus 24.

Pythagorae sententia de nominibus 16.
πυξίς 83.
Ῥέα 142.
Rhetorica 4.
Scamander unde sic dictus 70.
Scientiae et ignorantiae quot modi 63.
σιγὴ θεοθρέμμων 109.
σίζειν 83.
Simonides 156.
Sirenes 157.
σκέπαρνον 83.
Sophistas inter et philosophos discrimen 26.
Σωκράτης 18.
τάξις et πρᾶξις 175.
Τηθύς 143. 146.
Telauges 21.
Titanes 104. 111. 147.
τράπεζα 83.
Trinitatis partes 149.
Veritas quid secundum Platonem et Aristotelem et Rhetores 36.
Unitas περιούσιος 16.
φαίνω et φέρω 173.
Phanes 70. 106.
Philippides cursor 73.
φολκός 83.
φυγαδοθήρας 83.
χαλεπὰ τὰ καλά 23.
χάλκεος οὐρανός 129.
Chalcis anis 70.
χειρουργός 83.
τὰ χερείονα νικᾷ 40.

# III.

## Indiculus ad Notas in Proclum.

(Numeri paginas indicant.)

α et ευ. 9.
ἀγαπῶν et ἀγαθῶν. 89.
*Αἰολεῖς* et ὀλεῖς. 43.
ἄλλος et ἄλληλος. 28.
ἀνάγκη. 93.
ἀναθρεῖν. 8.
*Articulus uterque*. 8.
αὖ et οὖν. 60.
ἀφ᾽ ὅλων et ἄφωνος. 54.
ἀχῆνες. 43.
γὰρ λέγων et παραλέγων. 14.
γεννητὰ et γενητά. 9. 25.
γεννητικὴ et γενική. 33.
δ et ς. 80.
δαμιοργός. 45.
Δήμητρα, Δήμητραν. 96.
διακεκριμένως et διακεκρυμμένως. 103.
διαττώμενος et διαταττόμενος. 86. 87. et διαιτόμενον. 88.
διελομένης et διελεγχομένης. 89.
*Dionysius Tyrannus*. 43.

*δοκοῦσι* et *ἀρκοῦσι*. 41.
*ἔγγονα* et *ἔκγονα*. 1.
*ἔδοντες*. 43.
*εἴληχε* et *εἴληφε*. 17.
*εἰσδύνει* et *ἠδύνει*. 20.
*ἑκάστη* et *Ἑκάτη*. 65. 100. 101. 112.
*ἐκεῖ νοητὸν* et *ἐκεῖνον τόν*. 7.
*ἐκμαγεῖον* 44. 110.
*ἔλαβεν* et *ἔλαχεν*. 17.
*ἐντιθέναι* et *ἐνταθῦναι*. 11.
*Ἑρμέον*, *ἑρμίον*. 10.
*εὐμαρὴς* et *εὐμερής*. 113.
*ἔχειν* et *λαγχάνειν*. 17.
*Hercules*. 42.
*ϑ* et *μ*. 26. et *π*. 89.
*Theophrasti primum nomen Tyrtamus*. 7.
*Theophylactus Simocatta*. 17.
*θριγκός*. 2.
*ἴυγξ*. 57.
*καὶ* et *κατά*. 36. 118.
*κακὸς* et *καλός*. 15.
*κακῶς* et *καθώς*. 40.
*κατέγνω* et *κατείνω*. 10.
*λαγχάνειν* et *λαμβάνειν* et *ἔχειν*. 17.
*λήθης πόμα*. 2.
*μ* et *ϑ*. 26.
*μαλερός*. 44.
*Meleager unde dictus*. 43.
*μένανδρος ἢ παρθένος*. 43.
*μένειν* et *μὲν ἐν*. 84.
*μονίμως* et *νομίμως*. 97.
*νουμηνία*. 44.
*ὁμοιοτέλευτα causa omittendorum verborum*. 20.
*ὄντως*. *ὄντι*. 10.
*π* et *τι*. 41. et *ϑ*. 89.
*παρὰ τὸ, non τοῦ, in etymologia indicanda*. 47.
*παραγόμενος* et *παραγενόμενος*. 34. 85.
*παραλέγων* et *γὰρ λέγων*. 14.
*παραπλεῖν* et *παραληρεῖν*. 94.
*Plato*. 17. *Platonis primum nomen Aristocles*. 7.
*πλεύμων* et *πνεύμων*. 19.
*Pluto cum cornu copiae*. 92
*πνεύματι* et *πατρί*. 105.
*ποδηγούμενος* et *ὑποδηγούμενος*. 26.
*ποιεῖν καὶ πράττειν*. 16.
*ποιητικὸς καὶ πρακτικός*. 16.
*ποτήριον*. 43.
*πράξεις* et *τάξεις*. 104. 117.
*πρὸ* et *πρός*. 22.
*πρόδηλον* et *πρόσυλον*. 80.
*πρὸς* et *πυρός*. 106.
*προσεῖπε* et *πρόειπε*. 22.
*παίροντες* et *πτέοντες*. 9.
*πυρὶ* et *περί*. 2.
*πυρὸς* et *πρός*. 106.
*σίζειν*. 44.
*Simonides*. 93.
*σκέπαρνον*. 43.
*σοφιστὴς Ἅιδης, Ἔρως*. 94.
*στέλλειν* et *τέλλειν*. 118.
*Synesius*. 93.
*συνθημάτων* et *αἰθημάτων*. 21.
*τέλλειν* et *στέλλειν*. 118.
*τύχη* et *ψυχή*. 51.
*ὑπερτάτην* et *ὑπὲρ ταύτην*. 33.
*φαίνειν* et *φέρειν*. 105.
*Φιλιππίδης ὁ ἡμεροδρόμος*. 39.
*χαλεπὰ τὰ καλά*. 10.
*ψιλὴν* et *ψυχήν*. 3.
*ψυχὴ* et *τύχη*. 51. et *ψυχική*. 56.
*ως* et *ων*. 9.

PA 4279 C6P7 1820
Proclus Diadochus
Ek tōn Prokloy scholiōn eis Platōnos Kratylon eklogai

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY